4. Decline 1. *εἷς ἰχθὺς, unus piscis*; 2. *οἱ δύο ἰχθύες, duo pisces*; 3. *οἱ πέντε ἄρτοι, quinque panes*; 4. *κόφῑνοι δώδεκα.*

5. What deponent verb occurs in these verses? Define a deponent verb in Latin and Greek. What tenses does a deponent in Greek borrow from the passive voice?

6. Decline *πᾶς ὁ λαὸς οὗτος*. What is Greek for the numbers 1000 3000, 6000, and 10,000?

7. Give other instances of *ἀνὰ* = *at the rate of.*

LESSON XXV.

S. Luke x. 25.—The good Samaritan.

25. Καὶ ἰδοὺ, νομῑκός τις ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων, Διδάσκᾰλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

Digitized by Google

26. Ὁ δὲ εἶπε πρὸς αὐτὸν, Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;

27. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

28. Εἶπε δὲ αὐτῷ, Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ.

N. 1. διδάσκαλε (Less. XIII. v. 5). 2. ζωὴν. 3. τῷ νόμῳ. 4. τῆς καρδίας. 5. τῆς ψυχῆς. 6. τῆς ἰσχύος. 7. τῆς διανοίας.

A. αἰώνιος.

P. 1. αὐτὸν. 2. τί; 3. σεαυτὸν. 4. τοῦτο.

V. ω. 1. ἐκπειράζων. 2. λέγων. 3. γέγραπται. 4. ἀναγινώσκεις. 5 ἀπεκρίθης.

V. μι. 1. ἀνέστη. 2. εἶπε.

V. contr. 1. ποιήσας, ποίει. 2. κληρονομήσω. 3. ἀγαπήσεις. 4. ζήσῃ

---

1. Who were these νομικοὶ?
2. Decline νομικός τις, ζωὴ αἰώνιος, Κύριος ὁ Θεός σου, ὅλη ἡ καρδία, ὁ πλησίον σου.
3. What are the intransitive tenses of ἵστημι?
4. ὁ δὲ. (See Less. XXIV. v. 13.)
5. What is the Greek and Latin for *to read aloud*?
6. Translate literally ἀποκριθεὶς εἶπεν. Is that the proper way of translating the two words together?
7. What is the difference between ποίει and ποιεῖ? From what are they contracted?
8. What is there peculiar in the contraction of ζάω? What other verbs resemble it?

LESSON XXVI.

S. Luke x. 29. — The same.

29. Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν, Καί τίς ἐστί μου πλησίον;

30. Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν, Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

Digitized by Google

31. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

32. Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν.

33. Σαμαρείτης δέ τις ὁδεύων ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη.

N. 1. τὸν Ἰησοῦν. 2. ἄνθρωπος. 3. λῃσταῖς. 4. πληγὰς. 5. συγκυρίαν. 6. ἱερεὺς. 7. Λευΐτης. 8. τὸν τόπον.
A. ἡμιθάνῃ.
P. 1. ἑαυτὸν. 2. τίς; τις. 3. μου. 4. οἱ. 5. ἐκείνῃ.
V. ω. 1. θέλων. 2. ὑπολάβων. 3. κατέβαινεν. 4. περιέπεσεν. 5. ἐκδύσαντες. 6. ἀπῆλθον, ἀντιπαρῆλθεν, ἐλθὼν. 7. τυγχάνοντα. 8. γενόμενος. 9. ἐσπλαγχνίσθη.
V. μι. 1. εἶπε. 2. ἐστὶ. 3. ἐπιθέντες. 4. ἀφέντες.
V. contr. 1. δικαιοῦν. 2. ἰδὼν.

---

1. ὁ δὲ. (See Less. XXIV. v. 13.)
2. What part of speech is πλησίον? How does it become a substantive?
3. Decline ἱερεύς τις, ἡ ὁδὸς ἐκείνη, Σαμαρείτης τις ὁδεύων.
4. What are the two Greek names for Jerusalem?
5. Where is Jericho? For what was it famous? What river was it on?
6. Why is the imperfect used in κατέβαινεν, and the aorist in περιέπεσεν, v. 30?
7. Derivation of, 1. δικαιόω, 2. πληγὴ, 3. ἡμιθάνης, 4. συγκυρία 5. ὁδεύω, 6. ἐσπλαγχνίσθη?
8. What is the position of demonstrative pronouns with a noun and article?
9. Where else are Samaritans mentioned in the Gospels?
10. Why was there enmity between them and the Jews?

LESSON XXVII.

S. Luke x. 34. — The same.

34. Καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ.

35 Καὶ ἐπὶ τὴν αὔοιον ἐξελθὼν, ἐκβαλὼν δύο

Digitized by Google

δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ, Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

36. Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;

37. Ὁ δὲ εἶπεν, Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς, Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

N. 1. τὰ τραύματα. 2. ἔλαιον καὶ οἶνος. 3. τὸ κτῆνος 4. τὸ πανδοχεῖον. 5. τῷ πανδοχεῖ. 6. τοὺς λῃστάς. 7. ἔλεος.
A. ἴδιον.
P. 1. αὐτόν. 2. ὅ τι. 3. σοι. 4. τίς; 5. τούτων.
V. ω. 1. προσελθών. 2. ἐπιβιβάσας. 3. ἤγαγεν. 4. ἐκβαλών. 5. γεγονέναι. 6. ἐμπεσόντος. 7. πορεύου.
V. μι. 1. ἔδωκε. 2. εἶπεν. 3. ἀποδώσω.
V. contr. 1. κατέδησε. 2. ἐπιχέων. 3. ἐπιμελήθητι. 4. προσδαπανήσῃς. 5. δοκεῖ. 6. ποιήσας, ποίει.

---

1. Decline τὸ ἴδιον κτῆνος, ἡ αὔριον (ἡμέρα), δύο δηνάρια, οὗτοι οἱ τρεῖς.
2. Derivation of, 1. κτῆνος, 2. πανδοχεῖον?
3. Translate into English and Latin ἐν τῷ ἐπανέρχεσθαί με (v. 35).
4. What was a δηνάριον? Where else in the New Testament is it mentioned?
5. Do you know any other Latin words introduced into the Greek of the Gospels?

LESSON XXVIII.

S. Luke xv. 11.—The Prodigal Son.

11. Εἶπε δὲ, Ἄνθρωπός τις εἶχε δύο υἱούς·

12. Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ, Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

13. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγάγων ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

Digitized by Google

14. Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι.

N. 1. τῷ πατρὶ. 2. τὸ μέρος. 3. τῆς οὐσίας. 4. τὸν βίον. 5. ἡμέρας. 6. χώραν. 7. λιμὸς.
A. 1. νεώτερος. 2. πολλὰς. 3. ἅπαντα. 4. ἰσχυρὸς.
P. 1. μοι. 2. αὐτοῖς.
V. ω. 1. συναγάγων. 2. διεσκόρπισε. 3. ἐγένετο. 4. ἤρξατο.
V. μι. 1. εἶπε. 2. δὸς.
V. contr. 1. διείλεν. 2. ἀπεδήμησεν. 3. ζῶν (Less. XXV. v. 8). 4. δαπανήσαντος. 5. ὑστερεῖσθαι.

---

1. Decline ἄνθρωπός τις, εἷς υἱὸς, δύο υἱοὶ, τὸ ἐπιβάλλον μέρος, χώρα μακρὰ.

2. τὸ ἐπιβάλλον μέρος is a classical expression; cf. τῆς τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος (Demosth. de Cor. 312); ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον (Herod. iv. 115).

3. Name the adverbs above.

4. Derivation of 1. ἀσώτως, 2. ἀπεδήμησεν, 3. ἰσχυρὸς, 4. ὑστερεῖσθαι, 5. ἤρξατο?

5. Give an instance of the genitive absolute above.

6. Compare ἰσχυρὸς; give the rule. Decline λιμὸς ἰσχυρὸς.

7. Decline ἡ χώρα ἐκείνη, and give the rule about demonstrative pronouns.

LESSON XXIX.

S. Luke xv. 15. — The same.

15. Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.

16. Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ.

17. Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπε, Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι;

18. Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ, Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου·

Digitized by Google

19. Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου·

N. 1. τῶν πολιτῶν. 2. τῆς χώρας. 3. τοὺς ἄγρους. 4. χοίρους. 5. τὴν κοιλίαν. 6. τῶν κερατίων. 7. τοῦ πατρὸς. 8. ἄρτων. 9. λιμῷ. 10. οὐρανόν.

A. 1. ἑνὶ. 2. οὐδεὶς. 3. πόσοι. 4. μίσθιοι. 5. ἄξιος.

P. 1. ὧν. 2. ἑαυτὸν. 3. ἐκείνης.

V. ω. 1. πορευθεὶς, πορεύσομαι. 2. ἔπεμψεν. 3. βόσκειν. 4. γεμίσαι 5. ἤσθιον. 6. ἐλθὼν. 7. περισσεύουσιν. 8. ἥμαρτον.

V. μι. 1. εἶπε, ἐρῶ. 2. ἐδίδου. 3. ἀπόλλυμαι. 4. ἀναστὰς. 5. εἰμὶ.

V. contr. 1. ἐκολλήθη. 2. ἐπεθύμει. 3. κληθῆναι. 4. ποίησον.

---

1. Decline εἷς τῶν πολιτῶν.
2. ὧν (v. 16) — why the genitive? Give the rule.
3. Why is ἄρτων (v. 17) in the genitive?
4. Give the English of the adverbs above, ἐνώπιον, οὐκέτι, and their derivation.
5. Are there any deponent verbs in these verses?
6. Translate separately πορευθεὶς ἐκολλήθη (v. 15), ἀναστὰς πορεύσομαι (v. 18). Translate them together.

LESSON XXX.

S. Luke xv. 20.—The same.

20. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.

21. Εἶπε δὲ αὐτῷ ὁ υἱὸς, Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

22. Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ, Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας.

23. Καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν·

Digitized by Google

24. Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι.

N. 1. τὸν πατέρα. 2. τὸν τράχηλον. 3. ὁ υἱός. 4. τὸν οὐρανὸν. 5. τοὺς δούλους. 6. τὴν στολήν. 7. τὸ δακτύλιον. 8. τὴν χεῖρα. 9. ὑποδήματα. 10. τοὺς πόδας. 11 μόσχον.

A. 1. ἄξιος. 2. τὴν πρώτην. 3. νεκρὸς. 4. σιτευτὸν.

P. 1. ἑαυτοῦ. 2. οὗτος.

V. ω. 1. ἦλθε. 2. ἐσπλαγχνίσθη. 3. δραμὼν. 4. ἔπεσεν. 5. ἥμαρτον. 6. ἐξενέγκατε. 7. ἐνδύσατε. 8. θύσατε. 9. φαγόντες. 10. εὐφρανθῶμεν, εὐφραίνεσθαι. 11. εὑρέθη. 12. ἤρξαντο.

V. μι. 1. ἀναστὰς. 2. δότε. 3. ἀπολωλὼς. 4. ἦν.

V. contr. 1. εἶδεν. 2. κατεφίλησεν. 3. εἶπε. 4. κληθῆναι. 5. ἀνέζησε.

---

1. Explain the construction αὐτοῦ ἀπέχοντος. How does it differ from the Latin?

2. μακρὰν — what part of speech? What is the full phrase?

3. κληθῆναι υἱός σου (v. 21). Why is υἱὸς in the nominative?

4. τὴν στολὴν τὴν πρώτην (v. 22) — what rule does this illustrate? What other instance occurs in these verses?

5. Decline χεὶρ καὶ ποὺς, πατὴρ καὶ υἱὸς, στολὴ καὶ δακτύλιον, οὗτος ὁ υἱὸς.

6. Give the derivation of, 1. σπλαγχνίζω, 2. στολὴ, 3. δακτύλιον, 4. ὑποδήματα, 5. σιτευτὸς.

7. What is the Greek for "*the Parable of the Prodigal Son*?"

LESSON XXXI.

S. Luke xv. 25.—The same.

25. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν·

26. Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί εἴη ταῦτα;

27. Ὁ δὲ εἶπεν αὐτῷ, Ὅτι ὁ ἀδελφος σου ἥκει· καὶ ἔθῦσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.

28. Ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.

Digitized by Google

29. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρὶ, Ἰδοὺ, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ.

30. Ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.

31. Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ, σά ἐστιν.

32. Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

N. 1. *ὁ υἱὸς.* 2. *ἀγρῷ.* 3. *τῇ οἰκίᾳ.* 4. *συμφωνίας.* 5. *χορῶν.* 6. *τῶν παίδων.* 7. *ὁ ἀδελφὸς.* 8. *ὁ πατὴρ.* 9. *τὸν μόσχον.* 10. *ἔτη.* 11. *ἐντολὴν,* 12. *ἔριφον.* 13. *οἱ φίλοι.* 14. *τὸν βίον.* 15. *πορνῶν.* 16. *τέκνον.*

A. 1. *πρεσβύτερος.* 2. *ἕνα.* 3. *ἐμὰ.* 4. *σὰ.*

P. 1. *τί;* 2. *τοσαῦτα.* 3. *ἐμοῦ.*

V. ω. 1. *ἐρχόμενος, εἰσελθεῖν, παρῆλθον.* 2. *ἤγγίσε.* 3. *ἤκουσε.* 4. *ἐπυνθάνετο.* 5. *ἔθυσεν.* 6. *ὑγιαίνοντα.* 7. *ἀπέλαβεν.* 8. *ὠργίσθη.* 9. *ἤθελεν.* 10. *ἀποκριθεὶς.* 11. *εὐφρανθῶ.* 12. *καταφάγων.* 13. *χαρῆναι.* 14. *εὑρέθη*

V. *μι.* 1. *ἦν, εἴη, εἶ.* 2. *εἶπεν.* 3. *ἔδωκας.* 4. *ἀπολωλὼς.*

V. contr. 1. *προσκαλεσάμενος, παρεκἄλει.* 2. *ἔδει.* 3. *ἀνέζησε.*

---

1. What is the meaning of the middle voice in *προσκαλεσάμενος* (v. 26)?
2. *τί εἴη ταῦτα*; Why is *εἴη* singular?
3. What does *ὁ δὲ* (v. 27) mark?
4. What is the exact meaning of *ἥκει*?
5. Explain the construction in v. 29: *τοσαῦτα ἔτη δουλεύω σοι.* Is there anything like it in Latin and French?

LESSON XXXII.

S. Luke xvii. 11.—The Ten Lepers.

11. Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἰερουσαλὴμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας.

12. Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήν-

Digitized by Google

ησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἱ ἔστησαν πόῤῥωθεν·

13. *Καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ, ἐπιστάτα, ἐλέησον ἡμᾶς.*

14. *Καὶ ἰδὼν εἶπεν αὐτοῖς, Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν.*

N. 1. *Σαμαρείας καὶ Γαλιλαίας.* 2. *κώμην.* 3. *φωνὴν.* 4. *ἐπιστάτα.* 5. *τοῖς ἱερεῦσι.*
A. *μέσου.*
P. 1. *οἱ.* 2. *ἡμᾶς.* 3. *ἑαυτοὺς.*
V. *ω.* 1. *ἐγένετο.* 2. *διήρχετο.* 3. *ἦραν.* 4. *λέγοντες.* 5. *πορευθέντες.* 6. *ἐκαθαρίσθησαν.*
V. *μι.* 1. *ἔστησαν.* 2. *ἐπιδείξατε.*
V. contr. 1. *ἀπήντησαν.* 2. *ἐλέησον.* 3. *ἰδὼν.*

---

1. Explain *ἐν τῷ πορεύεσθαι αὐτὸν.* Put it into Latin. Quote a similar instance below.
2. What genitive absolute occurs above?
3. Decline *κώμη τις, δέκα λεπροὶ ἄνδρες.*
4. Is *ἔστησαν* (v. 12) the 3rd plur. of *ἔστησα* or of *ἔστην*? Why?
5. What is *ἑαυτοὺς* used for in v. 14?
6. Why did the lepers stand afar off?

LESSON XXXIII.

S. Luke xvii. 15.—The same.

15. *Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν·*

16. *Καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ, καὶ αὐτὸς ἦν Σαμαρείτης.*

17. *Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;*

18. *Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος;*

Digitized by Google

19. Καὶ εἶπεν αὐτῷ, Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

N. 1. φωνῆς. 2. τὸν Θεὸν. 3. τὸ πρόσωπον. 4. τοὺς πόδας. 5. δόξαν. 6. ἡ πίστις.
A. 1. εἷς. 2. μεγάλης.
P. 1. οὗτος. 2. σὲ.
V. ω. 1. ὑπέστρεψε, ὑποστρέψαντες. 2. δοξάζων. 3. ἔπεσεν. 4. ἀποκρῖθεὶς. 5. ἐκαθαρίσθησαν. 6. εὑρέθησαν. 7. πορεύου. 8. σέσωκε.
V. μι. 1. ἦν. 2. εἶπεν. 3. δοῦναι. 4. ἀναστὰς.
V. contr. 1. ἰδὼν. 2. ἰᾶ'θη. 3. εὐχαριστῶν.

---

1. Decline εἷς ἐξ αὐτῶν, ὁ ποὺς αὐτοῦ, οἱ δέκα ἄνδρες, ὁ ἀλλογενὴς οὗτος.
2. Compare μεγἄ'λης in the same case, number, and gender.
3. Decline φωνὴ μεγάλη, μείζων, μεγίστη.
4. What other leprosy did our Lord cure? Why were they to show themselves to the priest?

LESSON XXXIV.

S. Luke xix. 29.—Christ's Entry into Jerusalem.

29. Καὶ ἐγένετο ὡς ἤγγἴσεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, ἀπέστειλεν ὁ Ἰησοῦς δύο τῶν μαθητῶν αὐτοῦ,

30. Εἰπὼν, Ὑπάγετε εἰς τὴν κατέναντι κώμην· ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθἴσε· λύσαντες αὐτὸν ἀγάγετε.

31. Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, Διατί λύετε; οὕτως ἐρεῖτε αὐτῷ, Ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

32. Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς·

33. Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, Τί λύετε τὸν πῶλον;

34. Οἱ δὲ εἶπον, Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.

N. 1. τὸ ὄρος. 2. Ἐλαιῶν. 3. τῶν μαθητῶν. 4. τὴν κώμην. 5. πῶλον. 6. ἀνθρώπων. 7. χρείαν 8. οἱ κύριοι.

Digitized by Google

A. 1. δύο. 2. οὐδείς.
P. 1. ᾖ, ὄν. 2. τις.
V. ω. 1. ἐγένετο. 2. ἤγγἴσεν. 3. ἀπέστειλεν. 4. ὑπάγετε, ἀνάγετε. 5. εἰσπορευόμενοι. 6. εὑρήσετε, εὗρον. 7. ἐκάθἴσε. 8. λύσαντες, λύετε. 9. ἔχει. 10. ἀπελθόντες. 11. ἀπεσταλμένοι.
V. μι. 1. εἰπὼν, ἐρεῖτε. 2. ἐρωτᾷ.
V. contr. 1. καλούμενον. 2. δεδεμένον.

1. What is the difference between ὁ ὄρος and τὸ ὄρος?
2. What is the quantity of the υ in λύω? (See Less. IX. 8.)
3. What mood is ἐρωτᾷ (v. 31)? How do you know? What is the rule for εἰ and ἐὰν? What is ἐρωτᾷ contracted from?
4. Why is αὐτοῦ the genitive in v. 31?
5. What prophecy was fulfilled on this occasion?

LESSON XXXV.

S. Luke xix. 35.—The same.

35. Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν.

36. Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ.

37. Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη, πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων,

38. Λέγοντες, Εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ καὶ δόξα ἐν ὑψίστοις.

39. Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.

40. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Λέγω ὑμῖν ὅτι, ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.

N. 1. τὰ ἱμάτια. 2. τὸν πῶλον. 3. τῇ ὁδῷ. 4. τῇ καταβάσει. 5. τοῦ ὄρους. 6. τῶν ἐλαιῶν. 7. τὸ πλῆθος. 8. τῶν μαθητῶν. 9. φωνῇ. 10.

Digitized by Google

δυνάμεων. 11. ὀνόματι. 12. Κυρίου. 13. εἰρήνη. 14. Φαρισαίων. 15. ὄχλου. 16. διδάσκαλε. 17. οἱ λίθοι.

A. 1. ἅπαν. 2. μεγάλῃ. 3. πασῶν. 4. ὑψίστοις.

P. 1. ἑαυτῶν. 2. τινες. 3. αὐτὸν. 4. σοῦ. 5. ὑμῖν. 6. οὗτοι.

V. ω. 1. ἤγαγον. 2. ἐπίῤῥιψαντες. 3. ἐπεβίβασαν. 4. πορευομένου. 5. ὑπεστρώννυον. 6. ἐγγίζοντος. 7. ἤρξαντο. 8. χαίροντες. 9. λέγοντες. 10. ἐρχόμενος. 11. ἀποκριθεὶς. 12. κεκράξονται.

V. contr. 1. αἰνεῖν. 2. εὐλογημένος. 3. ἐπιτίμησον. 4. σιωπήσωσιν.

---

1. Why are there two ῥ in ἐπιῤῥίψαντες (v. 35)?

2. What is the difference between ἐπιβαίνω and ἐπιβιβάζω?

3. Might ὑπεστρώννυον be otherwise classed than as a verb in ω? Give its chief tenses.

4. Mention all the genitives absolute above.

5. Decline ἅπαν τὸ πλῆθος, ὁ ἐρχόμενος βασιλεύς.

6. What does αἰνέω make in the future? Mention other verbs similarly formed.

7. πασῶν ὧν εἶδον δυνάμεων (v. 37). What is ὧν for here? Give the rule and example.

8. Derivation of 1. ἱμάτιον. 2. ἐγγίζω. 3. κατάβασις. 4. ἔρχομαι 5. μαθητὴς. 6. εὐλογημένος. 7. διδάσκαλε.

9. What tense is κεκράξονται? Is it common? How is it formed? What is the English of it?

10. Why is σιωπήσωσι (v. 40) in the subjunctive?

11. What is the construction κατὰ σύνεσιν? What instance of it occurs above?

LESSON XXXVI.

S. Luke. xx. 19.—The Tribute Money.

19. Καὶ ἐζήτησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ἐκείνην εἶπε.

20. Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς, δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος.

21. Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες, Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβά-

Digitized by Google

νεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις.

22. *Ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι, ἢ οὔ;*

N. 1. *οἱ ἀρχιερεῖς.* 2. *οἱ γραμματεῖς.* 3. *τὰς χεῖρας.* 4. *ὥρᾳ.* 5. *τὸν λαὸν.* 6. *λόγου.* 7. *τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ.* 8. *τοῦ ἡγεμόνος.* 9. *διδάσκαλε.* 10. *ἀληθείας.* 11. *τὴν ὁδὸν.* 12. *τοῦ Θεοῦ.* 13. *Καίσαρι.* 14. *φόρον.*

A. 1. *ἐγκαθέτους.* 2. *δικαίους.*

P. 1. *αὐτῇ.* 2. *ἑαυτοὺς.* 3. *ἡμῖν.*

V. *ω.* 1. *ἐπιβαλεῖν.* 2. *ἔγνωσαν.* 3. *ἀπέστειλαν.* 4. *ὑποκρινομένους.* 5. *λέγοντες, λέγεις.* 6. *διδάσκεις.* 7. *λαμβάνεις.*

V. *μι.* 1. *εἶναι.* 2. *παραδοῦναι.* 3. *ἔξεστιν.*

V. contr. 1. *ἐζήτησαν.* 2. *ἐφοβήθησαν.* 3. *παρατηρήσαντες.* 4. *ἐπηρώτησαν.*

---

1. Decline *αὐτὴ ἡ ὥρα, ἡ παραβολὴ ἐκείνη.*

2. What parable is referred to in v. 19?

3. Derivation of, 1. *ἐγκάθετος*, 2. *γραμματεὺς*, 3. *παραβολή*, 4. *ἐξουσία*, 5. *ἡγεμών*, 6. *πρόσωπον*, 7. *ἀλήθεια*, 8. *φόρος.*

4. What substantive is derived from *ὑποκρίνομαι*?

5. Why is *δικαίους* (v. 20) in the accusative? What cases may be thus placed in Greek? What in Latin?

6. What is the rule for the mood following *ἵνα, ὅπρα, ὡς*, which are called *the causative particles*?

7. *αὐτοῦ λόγου* (v. 20) — why are these severally in the genitive?

8. Who was the *ἡγεμών*? What is the Latin for this word?

9. Put into Latin *εἰς τὸ παραδοῦναι αὐτὸν* (v. 20).

10. *οἴδαμεν* (v. 21) — what is the more classical form? Go through the tense.

11. What is meant by *λαμβάνεις πρόσωπον* (v. 21)? What is the Greek for *partiality*?

12. Who was *Καῖσαρ* at this time?

LESSON XXXVII.

S. Luke xx. 23. — The same

23. *Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς, Τί με πειράζετε;*

24. *Ἐπιδείξατέ μοι δηνάριον· τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; Ἀποκριθέντες δὲ εἶπον, Καίσαρος.*

Digitized by Google

25. Ὁ δὲ εἶπεν αὐτοῖς, Ἀπόδοτε τοίνυν τὰ Καισαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

26. Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

N. 1. τὴν πανουργίαν. 2. δηνάριον. 3. τὴν εἰκόνα. 4. τὴν ἐπιγραφήν. 5. Καίσαρος. 6. τῷ Θεῷ. 7. ῥήματος. 8. τοῦ λαοῦ. 9. ἀποκρίσει.

P. 1. αὐτῶν. 2. τί; τίνος; 3. μοι.

V. ω. 1. πειράζετε. 2. ἔχει. 3. ἀποκριθέντες. 4. ἴσχυσαν. 5. ἐπιλαβέσθαι. 6. θαυμάσαντες.

V. μι. 1. εἶπε. 2. ἐπιδείξατε. 3. ἀπόδοτε.

V. contr. 1. κατανοήσας. 2. ἐσίγησαν.

---

1. What is the derivation of, 1. κατανοήσας, 2. δηνάριον, 3. ῥῆμα, 4. ἐναντίον, 5. πανουργία, 6. εἰκών, 7. ἐπιγραφή?

2. What part of speech is τί, as *used* in v. 23? What Latin word is similarly used?

3. Why is Καίσαρος in the genitive (v. 24)?

4. αὐτοῦ ῥήματος (v. 26). (See Lesson XXXVI. v. 20.)

5. Who joined the Pharisees on this occasion?

6. Why were they not likely to have joined them?

7. What other enemies to each other agreed in persecuting our Lord?

8. What is the meaning of our Lord's reply (v. 25)?

9. What was the δηνάριον? Where else is it mentioned? What is its value in English money? What was nearest to it in the Greek coinage? What in France now?

LESSON XXXVIII.

S. Luke xxiii. 50. — The Burial of Christ.

50. Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς, ὑπάρχων ἀνὴρ ἀγαθὸς καὶ δίκαιος·

51. (Οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν·) ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων, ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ·

52. Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

Digitized by Google

53. Καὶ καθελὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήμᾰτι λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος.

N. 1. ἀνὴρ. 2. ὀνόμᾰτι. 3. βουλευτὴς. 4. τῇ βουλῇ. 5. τῇ πράξει. 6. πόλεως. 7. τῶν Ἰουδαίων. 8. τὴν βασιλείαν. 9. τοῦ Θεοῦ. 10. τὸ σῶμα. 11. σινδόνι. 12. μνήμᾰτι.

A. 1. λαξευτὸς. 2. οὐδεὶς.

P. 1. οὗτος. 2. αὐτῶν. 3. ὃς.

V. ω. 1. ὑπάρχων. 2. προσεδέχετο. 3. προσελθὼν. 4. ἐνετύλιξεν. 5. κεῖμαι.

V. μι. 1. ἦν. 2. συγ-κατα-τεθειμένος. 3. ἔθηκεν.

V. contr. 1. ᾐτήσατο. 2. καθ-ελὼν.

---

1. Decline together ἀνὴρ βουλευτὴς, ὑπάρχων ἀνὴρ ἀγαθὸς, μνῆμα λαξευτὸν.
2. What is the derivation of, 1. ὑπάρχων, 2. δίκαιος, 3. βουλευτὴς, 4. λαξευτὸς, 5. μνῆμα, 6. οὐδέπω?
3. Of what body was Joseph a βουλευτής?
4. Name the deponent verbs above.
5. Where is Arimathæa?
6. Who assisted Joseph at our Lord's burial?
7. Where was the μνῆμα? How guarded?
8. Who are meant by αὐτῶν (v. 51)?
9. What is meant by προσδέχεσθαι τὴν βασιλείαν τοῦ Θεοῦ?

LESSON XXXIX.

S. Luke xxiii. 54.—The same.

54. Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββᾰτον ἐπέφωσκε.

55. Κατακολουθήσᾶσαι δὲ καὶ γυναῖκες, αἵτῖνες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ.

56. Ὑποστρέψᾶσαι δὲ ἡτοίμᾰσαν ἀρώμᾰτα καὶ μύρα· καὶ τὸ μὲν σάββᾰτον ἡσύχᾰσαν κατὰ τὴν ἐντολήν.

N. 1. ἡμέρᾱ. 2. παρασκευὴ. 3. σάββᾰτον. 4. γυναῖκες. 5. τῆς Γαλιλαίας. 6. τὸ μνημεῖον. 7. τὸ σῶμα. 8. ἀρώματα καὶ μύρα. 9. τὴν ἐντολήν.

Digitized by Google

P. 1. *αἵτινες.* 2. *αὐτῷ.*
V. *ω.* 1. *συν-εληλυθυῖαι.* 2. *ὑποστρέψασαι.* 3. *ἡτοίμασαν.* 4. *ἡσύχασαν.*
V. *μι.* 1. *ἦν.* 2. *ἐτέθη.*
V. contr. 1. *κατ-ακολουθήσασαι.* 2. *ἐθεάσαντο.*

---

1. What was the *παρασκευή*?
2. What is the exact meaning of *ἐπέφωσκε*?
3. Who were these women?
4. What is the *μνημεῖον* called in Lesson XXXVIII.?
5. How many aorists occur in these verses?
6. Decline *γυνὴ ἥτις.*
7. What is the derivation of 1. *παρασκευὴ*, 2. *ἐπέφωσκε*, 3. *μνημεῖον*, 4. *ἡτοίμασαν*, 5. *ἡσύχασαν*, 6. *ἐντολὴν*?
8. What *ἐντολὴ* is meant?

LESSON XL.

S. Luke xxiv. 50.—The Ascension.

50. Ἐξήγαγε δὲ αὐτοὺς ὁ Ἰησοῦς ἔξω ἕως εἰς Βηθανίαν· καὶ ἐπᾶρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς.

51. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν.

52. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης·

53. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

N. 1. *τὰς χεῖρας.* 2. *τὸν οὐρανὸν.* 3. *χαρᾶς.* 4. *τῷ ἱερῷ.* 5. *τὸν Θεὸν.*
A. *μεγάλης.*
P. *αὐτοὺς.*
V. *ω.* 1. *ἐξήγαγε.* 2. *ἐπᾶρας.* 3. *ἀνεφέρετο.* 4. *ὑπέστρεψαν*
V. *μι.* 1. *διέστη.* 2. *ἦσαν.*
V. contr. 1. *εὐλόγησεν.* 2. *προσκυνήσαντες.* 3. *αἰνοῦντες.*

---

1. *ἔξω* — out of what?
2. *αὐτὸν αὐτοὺς* (v. 51) — why in the accusative?
3. Decline *χαρὰ μεγάλη, μείζων, μεγίστη.*
4. Translate into Latin *ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς.*

Digitized by Google

5. *a.* What are the intransitive tenses of *δίστημι* (v. 51)? *b.* What is used for the intransitive present, imperfect, and future? *c.* Write down the seven intransitive tenses of *δίστημι*, in the indicative, and also all the participles.

6. Where else is the Ascension mentioned?

7. Who were present at it?

8. Why did the apostles return to Jerusalem?

9. *ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ* (v. 53) — what is said in the Acts on this point?

10. *a.* What language is *ἀμὴν*? *b.* English? *c.* What does it mean at the end of prayers? *d.* of the Gospels? *e.* Who uses *ἀμὴν, ἀμὴν λέγω ὑμῖν*?

Praxis upon the Regular Verbs.

Give the chief tenses and English of the following: active, future, perfect and aor. 2; passive, perfect and aor. 1 and 2. where existing; for very many verbs have not all these tenses.

A. *First Conjugation.*

1. *βλέπω.*	2. *θάπτω.*	3. *σκώπτω.*	4. *λείπω.*
5. *τέρπω.*	6. *ἀμείβω.*	7. *τρέφω.*	8. *τρέπω.*
9. *γράφω.*	10. *τρίβω.*	11. *ἅπτω.*	12. *βλάπτω.*
13. *καλύπτω.*	14. *κόπτω.*	15. *κρύπτω.*	16. *ῥίπτω.*

B. *Second Conjugation.*

1. *διώκω.*	2. *πνίγω.*	3. *ἄρχω.*	4. *πλέκω.*
5. *ἄγω.*	6. *θήγω.*	7. *φεύγω.*	8. *αἱμάσσω.*
9. *ἀλλάσσω.*	10. *κηρύσσω.*	11. *πλήσσω*	12. *πράσσω.*
13. *σφάττω.*	14. *ταράσσω.*	15. *τάσσω*	

C. *Third Conjugation.*

1. *ἀνῦτω.*	2. *ἐρείδω.*	3. *ψεύδω.*	4. *πείθω.*
5. *ἀναγκάζω.*	6. *γυμνάζω.*	7. *δικάζω.*	8. *σώζω.*
9. *φράζω.*	10. *γνωρίζω.*	11. *νομίζω.*	12. *ἁρμόζω.*

D. *Fourth Conjugation.*

1. *ἀγγέλλω.*	2. *στέλλω.*	3. *σφάλλω.*	4. *φθείρω.*
5. *ἀμύνω.*	6. *δέμω.*	7. *νέμω.*	8. *μένω.*
9. *αὐαίνω.*	10. *αἴρω.*	11. *σημαίνω.*	12. *φαίνω.*
13. *τείνω.*	14. *αἰσχύνω.*	15. *κλίνω.*	16. *σπείρω*

Digitized by Google

E. *Fifth Conjugation.*

a. in -ω pure.

1. δύω.	2. δακρύω.	3. κρούω.	4. χρίω.
5. παιδεύω.	6. πιστεύω.	7. σείω.	8. χορεύω.

b. in -άω.

1. ἀγαπάω.	2. ὁρμάω	3. βοάω.	4. διαιτάω.
5. διψάω.	6. δράω.	7. ἐάω.	8. ζάω.

c. in -έω.

1. ἀγνοέω.	2. ἀδικέω.	3. οἰκέω.	4. ἀσκέω.
5. αὐλέω.	6. αἰτέω.	7. κρατέω.	8. κινέω.

d. in -όω.

1. αἱματόω.	2. ἀξιόω.	3. δηλόω.	4. ζημιόω.
5 ὀρθόω.	6. πληρόω.	7. χειρόω.	8. στεφανόω.

F. *Deponents.*

a. With Middle First Aorist.

1. ἀσπάζομαι.	2. εὔχομαι.	3. σκέπτομαι.
4. ἐργάζομαι.	5. χράομαι.	6. ἅπτομαι.

β. With Passive First Aorist.

1. βούλομαι.	2. πορεύομαι.	3. ἐνθυμέομαι.
4. δύναμαι.	5. οἶομαι.	6. εὐλαβέομαι.

γ. With both Passive and Middle Frst Aorist.

1. πειράομαι.	2. αὐλίζομαι.	3. ἀμείβομαι.

END OF PART II.

Digitized by Google

PART III.

FABLES FROM ÆSOP.

[In this Part, the verbs are not classified into V. ω., V. μι., V. contr., as in Part II.]

LESSON XLI.

1. The Wolf.

Λύκος ἰδὼν ποιμένας, ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν, "ἡλίκος," ἔφη, "ἂν ἦν Ϝόρῦβος, ει ἐγὼ τοῦτο ἐποίουν."

2. The Lioness.

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος, ἐπὶ τὸ διὰ παντὸς ἕνα τίκτειν, "ἕνα," ἔφη, "ἀλλὰ λέοντα."

3. The Gnat and the Ox.

a. Κώνωψ ἐπὶ κέρᾱτος βοὸς καθεζομένη ηὔλει· εἶπε δὲ πρὸς τὸν βοῦν, "εἰ βαρῶ σου τὸν τένοντα, ἀναχωρήσω."

b. Ὁ δὲ ἔφη, "οὔτε ὅτε ἦλθες ἔγνων, οὔτε ἐὰν μένῃς, μελήσει μοι."

N. 1. ποιμένας. 2. λέαινα. 3. ἀλώπεκος. 4. κώνωψ. 5. κέρατος. 6. βοὸς.

V. 1. ἰδὼν. 2. ἐσθίοντας. 3. προσελθὼν. 4. ἔφη. 5. τίκτειν. 6. καθεζομένη. 7. ηὔλει. 8. ἔγνων. 9. μελήσει.

Digitized by Google

1. Decline *τοιμένες ἐσθίοντες, εἷς ἀλλὰ λέων, κώνωψ καθεζομένη, πᾶς ὁ βίος.*
2. What is the English of *ἡλίκος ἂν ἦν θόρῦβος?*
3. Put into Latin *ἐπὶ τὸ ἕνα τίκτειν.*
4. What are the participles of all the chief tenses of *ἔρχομαι, φημί, γινώσκω?*
5. What is the contracted form of *κέρᾱτος?*
6. Explain the constructions of *εἰ* and *ἦν* above, and state the rule.
7. Explain *μελήσει μοι.*
8. What is the rule about *οὔτε . . . οὔτε?*

LESSON XLII.

4. The Husbandman and the Snake.

a. Γεωργὸς, *χειμῶνος ὥρᾳ, ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον λαβὼν ὑπὸ κόλπου κατέθετο.*

b. Θερμανθεὶς δὲ *ἐκεῖνος, καὶ ἀναλᾰβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην.*

5. The Fox and the Bunch of Grapes.

a. Βότρυας *πεπείρους ἀλώπηξ κρεμαμένους ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφᾰγεῖν.*

b. Πολλὰ δὲ *καμοῦσα καὶ οὐ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη ἔλεγεν, "ὄμφᾰγες ἔτι εἰσί."*

N. 1. *ὄφιν.* 2. *κρύους.* 3. *βότρυας.*
V. 1. *εὑρὼν.* 2. *πεπηγότα.* 3. *λαβὼν.* 4. *κατέθετο.* 5. *θερμανθεὶς.* 6. *ἔπληξε.* 7. *κρεμαμένους.* 8. *ἰδοῦσα.* 9. *καταφᾰγεῖν.* 10. *καμοῦσα.*

---

1. Derivation of, 1. *γεωργὸς*, 2. *εὐεργέτης*, 3. *πεπείρους*, 4. *παραμυθουμένη.*
2. Decline *ἡ ἰδία φύσις, χειμῶνος ὥρα.*
3. What change of meaning takes place in *πήγνῡμι?* Mention similar instances.
4. What is the force of the preposition in *καταφαγεῖν* and *παραμυθουμένη?*

Digitized by Google

LESSON XLIII.

6. The Kid and the Wolf.

a. Ἔριφος ἐπί τινος δώμᾰτος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν.

b. Ὁ δὲ λύκος ἔφη· "ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος."

7. The Boy bathing.

a. Παῖς λουσάμενος ἐν ποτᾰμῷ ἐκινδύνευε πνιγῆναι· καὶ ἰδών τινα παροδῖτην, ἐπεφώνει· "βοήθησον."

b. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τὴν τολμηρίαν.

c. Τὸ δὲ παιδίον εἶπεν· "ἀλλὰ νῦν μοι βοήθησον, ὕστερον δὲ σωθέντι μέμφου."

N. 1. παῖς. 2. παροδῖτην.
V. 1. ἑστὼς. 2. παριόντα. 3. εἶδεν. 4. πνιγῆναι. 5. βοήθησον. 6 σωθέντι.

---

1. Decline, 1. παῖς καὶ παιδίον, 2. ἔριφος ἑστὼς, 3. λύκος παριών, παροδῖτης τις, δῶμά τι.
2. Derivation of, 1. δῶμα, 2. παροδῖτης, 3. βοηθέω, 4. τολμηρία?
3. Constructions of μέμφομαι. Compare *objicio* in Latin.
4. Meaning and usage of ὦ οὗτος. What is used in Latin for it?
5. Give all the participles of ἵστᾰμαι, ὁράω, and σώζω.
6. Supply the verb and accusative to ὁ τόπος, 6. *b.*
7. What is the difference between λούω and λούομαι, and between λούω, νίπτω, and πλύνω.

LESSON XLIV.

8. The Hound and the Fox.

a. Κύων θηρευτῐκὸς λέοντα ἰδὼν, τοῦτον ἐδίωκεν· ὡς δὲ ἐπιστρᾰφεὶς ἐκεῖνος ἐβρυχήσᾰτο, ὁ κύων φοβηθεὶς εἰς τὰ ὀπίσω ἔφῡγεν.

Digitized by Google

b. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη· "ὦ κακὴ κεφαλή, σὺ λέοντα ἐδίωκες, οὐτῖνος οὐδὲ τὸν βρυχηθμὸν ὑπήνεγκας;"

9. The Wolf and the Lamb.

a. Λύκος ἀμνὸν ἐδίωκεν· ὁ δὲ εἰς ναὸν κατέφυγε.

b. Προσκαλουμένου δὲ τοῦ λύκου τὸν ἀμνόν, καὶ λέγοντος, ὅτι θυσιᾰ́σει αὐτὸν ὁ ἱερεὺς τῷ θεῷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν·

c. "Ἀλλ' αἱρετώτερόν μοί ἐστι θεῷ θυσίαν εἶναι, ἢ ὑπὸ σοῦ διαφθαρῆναι."

N. 1. κύων. 2. ἀμνόν. 3. ἱερεύς. 4. λέοντα.
P. οὐτινος.
V. 1. ἰδών. 2. ἐπιστραφεὶς. 3. ἐβρυχήσᾰτο. 4. ἔφῠγεν. 5. ὑπήνεγκας. 6. διαφθαρῆναι.

---

1. Decline together κύων θηρευτῐκός, ἀλώπηξ θεασαμένη.
2. Difference between φοβέω and φοβοῦμαι? Give the Latin.
3. Meaning of οὐδέ, 8. *b*? Is this always its meaning?
4. Give the chief indicative tenses, and the participles of ὑπήνεγκας.
5. Decline ὅστις. What are the short forms of the genitive and dative?
6. Why is the α in θυσιᾰ́σει short, and the ω in αἱρετώτερον long?

LESSON XLV.

10. The Ass in the Lion's Skin.

a. Ὄνος δορὰν λέοντος ἐπενδῠθεὶς, λέων ἐνομίζετο πᾶσι, καὶ φυγὴ μὲν ἦν ἀνθρώποις, φυγὴ δὲ ποιμνίοις.

b. Ὡς δὲ ἄνεμος βιαιότερον πνεύσας ἐγύμνου αὐτὸν τοῦ προκαλύμματος, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπᾰ́λοις αὐτὸν ἔπαιον.

11. The Birds and the Peacock.

a. Τῶν ὀρνῐ́θων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν.

Digitized by Google

b. Αἱρουμένων δὲ τοῦτον τῶν ἄλλων, ὁ κολοιὸς ὑπολαβὼν ἔφη·

c. "Ἀλλ' εἰ, σοῦ βασιλεύοντος, ὁ ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;"

N. 1. ποιμνίων. 2. ὀρνίθων. 6. ταὼς.
V. 1. ἐπενδῦθεἰς. 2. πνεύσας. 3. ἐγύμνου. 4. ἐπιδραμόντες. 5. ἠξίου. 6. ὑπολάβων.

---

1. Why is λέων in the nominative?
2. What is the force of the comparative in βαιότερον?
3. What is the difference between αἱρέω and αἱρέομαι? Give the chief tenses of each.
4. Account for all the genitives above.
5. Derivation of, 1. πολύμνιον, 2. προκάλυμμα, 3. χειροτονέω, 4. ἐπιχειρέω, 5. ἐπαρκέω.
6. What is the difference between διὰ τοῦ κάλλους and διὰ τὸ κάλλος?

LESSON XLVI.

12. The Woman and the Hen.

a. Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν.

b. Νομίσασα δὲ ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν.

c. Ἡ δὲ ὄρνις, πῖμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

13. The Fox and the Lion.

a. Ἀλώπηξ, οὔπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν.

b. Ἔπειτα δὲ τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον.

c. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτω κατεθάρρησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Digitized by Google

N. 1. *γυνὴ*. 2. *ὄρνιν*.
A. *πλείους*.
V. 1. *εἶχε*. 2. *τίκτουσαν, τέξεται, τεκεῖν*. 3. *νομίσασα*. 4. *παραβάλοι*. 5. *γενομένη*. 6. *ἠδύνατο*. 7. *συνήντησε*. 8. *ἀποθανεῖν*. 9. *προσελθοῦσα*.

---

1. Decline *γυνή τις χήρα, ἑκάστη ἡμέρα, ὄρνις τίκτουσα, πλείους κριθαί*.

2. Translate, *a. καθ' ἑκάστην ἡμέραν, b. δὶς τῆς ἡμέρας, c. οὐδ' ἅπαξ τῆς ἡμέρας*.

3. What is the rule for these genitives? Put into Greek and Latin, *in summer and winter*.

4. *b. εἰ παραβάλοι*. Would *ἐὰν* have done as well as *εἰ*? Give the rule.

5. What *middle* tenses has *τίκτω*? [N.B. *τίκτω* = *τιτέκω*, root *τεκ*. Cf. *μίμνω* = *μιμένω*, root *μεν*. *πίπτω* = *πιπέτω*, root *πετ* or *πεσ*.]

6. What verbs have *ἡ* for *ἐ* in the augment?

7. Explain the phrase *ὡς μικροῦ καὶ ἀποθανεῖν*.

8. *a.* What deponents are there above? *b.* What tenses do some deponents borrow from the passive? *c.* Give an instance from above.

9. When is *οὕτω* used, when *οὕτως*?

LESSON XLVII.

14. The Frogs.

a. Βάτρᾰχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν.

b. Καὶ δὴ βαθεῖ περιέτυχον φρέᾰτι, ὅπερ ἰδὼν ἄτερος θατέρῳ φησὶ, "συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ."

c. Ὁ δὲ ὑπολαβὼν εἶπεν, "ἂν οὖν καὶ τὸ ἐνθᾰ̓δε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;"

15. The Lion and the Frog.

Λέων ἀκούσας ποτὲ βατρᾰ́χου μέγα βοῶντος, ἐπεστρᾰ́φη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι· προσμείνας δὲ μῐκρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Digitized by Google

N. φρέᾱτι.
A. βαθεῖ.
P. ὄπερ.
V. 1. ξηρανθείσης. 2. καταλιπόντες. 3. ἐπεζήτουν. 4. περιέτυχεν. 5. ἰδών. 6. συγ-κατ-έλθωμεν. 7. ὑπολαβών. 8. ἀναβησόμεθα. 9. βοῶντος. 10. ἐπεστρᾰ́φη. 11. προσμείνας. 12. εἶδεν.

---

1. Decline βάτρᾰχοι δύο, ξηρανθεῖσα ἡ λίμνη, βαθὺ φρέαρ, τόδε τὸ φρέαρ, μέγα τι ζῶον.
2. θέρους. (See Fab. 13, quest. 3.)
3. *a.* Supply the noun to ἑτέραν.
4. *a.* Decline ἄτερος. *b.* What is it compounded of? *c.* What is the Latin for ἄλλος, ἕτερος, ἄτερος?
5. ὃ οὗτος. (See Fab. 6, *b.*)
6. *c.* ἂν ξηρανθῇ. What is ἂν here? How is it always to be known from the potential ἄν? What other forms has it? By what mood is it always followed?
7. Why is βατρᾰ́χου (Fab. 15) in the genitive? Give the rule.
8. μικρὸν — why in the accusative? Rule?

LESSON XLVIII.

16. The Lion, the Ass, and the Fox.

a. Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν.

b. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς· ὁ δὲ τρεῖς μερῖ́δας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο.

c. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφᾰγεν· εἶτα τὴν ἀλώπεκα μερίζειν ἐκέλευσεν.

d. Ἡ δ' εἰς μίαν μερῖ́δα πάντα σωρεύσᾱσα, ἑαυτῇ βραχύ τι κατέλιπεν.

e. Καὶ ὁ λέων πρὸς αὐτὴν εἶπε· "Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν;" ἡ δ' εἶπεν, ἡ τοῦ ὄνου συμφορά."

V. 1. ἐξῆλθον. 2. συλ-ληφθείσης. 3. διελεῖν, διαιρεῖν. 4. κατέφᾰγεν. 5. κατέλῐπεν. 6. ἐδίδαξεν.

---

1. Decline λέων καὶ ὄνος καὶ ἀλώπηξ, τρεῖς μερίδες, βραχύ τι, ἡ τοῦ ὄνου συμφορά.

Digitized by Google

2. What prepositions do not suffer elision in composition? Account for the diphthong in *προὐτρέπετο*.

3. Give all the active participles of *συλ-λαμβάνω*. What change does the *ν* of *σὺν* undergo in this verb?

4. Derivation of, 1. *κοινωνία*, 2. *Δυμωθεὶς*, 3. *σωρεύσᾶσα*, and, 4. *συμφορὰ*?

5. Compare *ὦ βελτίστη* in the vocative feminine.

6. *d.* Account for *ἡ δὲ*. Is the *ἡ* the same as the second *ἡ* in the last line?

7. What is the Latin for the three first nouns above? How is the last formed?

LESSON XLIX.

17. The Fawn and the Stag.

a. *Νέβρος ποτὲ πρὸς τὸν ἔλᾰφον εἶπε, "πάτερ, σὺ καὶ μείζων καὶ ταχύτερος κυνῶν πέφῡκας, καὶ κέρᾱτα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμῡναν· τί δήποτ' οὖν οὕτω τούτους φοβεῖ;"*

b. *Κἀκεῖνος γελῶν εἶπεν, "ἀληθῆ μὲν ταῦτα φῂς, τέκνον· ἓν δ' οἶδα, ὡς, ἐπειδὰν κυνὸς ὑλᾰκὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν, οὐκ οἶδ' ὅπως, ἐκφέρομαι."*

18. The Gnat and the Lion.

a. *Κώνωψ, πρὸς λέοντα ἐλθὼν, εἶπεν, "οὔτε φοβοῦμαί σε, οὔτε δυνατώτερός μου εἶ. εἰ δὲ μὴ, τί σοί ἐστιν ἡ δύνᾰμις; ὅτι ξύεις μὲν τοῖς ὄνυξι, καὶ δάκνεις ὀδοῦσι; τοῦτο καὶ γυνὴ, τῷ ἀνδρὶ μαχομένη, ποιεῖ."*

N. 1. *πάτερ.* 2. *κυνῶν.* 3. *κέρᾱτα.* 4. *κώνωψ.* 5. *ὄνυξι.* 6. *ὀδοῦσι.* 7. *γυνὴ.* 8. *ἀνδρὶ.*

A. 1. *μείζων.* 2. *ταχύτερος.* 3. *ὑπερφυᾶ.* 4. *δυνατώτερος.*

V. 1. *πέφῡκας.* 2. *φέρεις.* 3. *φοβεῖ.* 4. *οἶδα.* 5. *ἐλθὼν.*

---

1. Decline *μείζων καὶ ταχύτερος, κέρας ὑπερφυὲς, ἀληθὲς τοῦτο, γυνὴ μαχομένη.*

2. Derivation of *ὑπερφυᾶ* and *κώνωψ*?

3. What parts of *μείζων* and *κέρας* are contracted?

4. From what is *ὑπερφυᾶ* contracted? Why does it not end in *ᾶ*?

Digitized by Google

5. What is φοβεῖ contracted from? Put it into Latin. What would φοβεῖς mean?

6. Go through, 1. the persons of οἶδα, 2. its cognate tenses. 3. What is its pluperfect?

7. *b.* ἀκούσω — is this the future indicative or the aorist subjunctive? Give your reasons.

8. Latin for οὐκ οἶδ' ὅπως?

9. What is the rule about οὐδὲ and οὔτε?

10. What is the construction of the comparative in Greek and Latin, with and without a particle inserted after it? Give instances from above.

LESSON L.

18. The same — *continued.*

b. "Ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος, εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον."

c. Καὶ σαλπίσας, ὁ κώνωψ ἐνεπήγετο, δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν.

d. Ὁ κώνωψ δὲ νικήσας τὸν λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπτατο.

e. Ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου, τῆς ἀράχνης, ἀπώλετο.

N. ῥῖνας.

A. 1. μεγίστοις. 2. εὐτελοῦς.

V. 1. σαλπίσας. 2. ἐν-επ-ήγετο. 3. δάκνων. 4. ἠγανάκτησεν. 5. ᾄσας. 6. ἔπτατο. 7. ἐμπλακεὶς. 8. ἐσθιόμενος. 9. ἀπωδύρετο. 10. ἀπώλετο.

---

1. How do you know from the form of the word that the υ in ἰσχυρότερος is long?

2. εἰ θέλεις. Give the rule.

3. What part of the verb is ἔλθωμεν? What is it used for? Compare the Latin.

4. Derivation of, 1. ἄτριχα, 2. σαλπίσας, 3. ἠγανάκτησεν, 4. ἐπινίκιον, 5. δεσμῷ.

5. Decline τοῖς ἰδίοις ὄνυξι in the plural.

6. What is the quantity of the υ in λύω, λύσω, ἔλυσα, λέλυκα, λέλυμαι, ἐλύθην, ἀνάλυσις, κατάλυμα? Say the rule.

Digitized by Google

7. What contraction takes place in ἀείδω? What English word is derived from it?

8. Give the two forms of the present of *to fly* in Greek, and their chief tenses.

9. Cognate tenses of ἐμπλάκεις and ἀπώλετο?

10. Chief tenses of ἀπόλλυμι and ἀπόλλῡμαι? What is the Latin of these two words?

LESSON LI.

19. The Jackdaw and the Pigeons.

a. Κολοιὸς ἔν τινι περιστερῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκᾱ́νας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος.

b. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο.

c. Ἐπεὶ δέ ποτε ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλᾰσαν παίουσαι.

d. Καὶ ὃς, ἀποτῠχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν.

e. Κἀκεῖνοι διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

V. 1. ἰδὼν. 2. λευκᾱ́νας. 3. ἦλθεν. 4. μεταληψόμενος. 5. προσίεντο 6. ἐφθέγξατο. 7. γνοῦσαι. 8. ἐξ-ήλᾰσαν. 9. ἀπο-τῠχὼν. 10. ἐπ-άνηκε. 11. ἀπεῖρξαν.

---

1. Decline περιστερών τις, ἡ αὐτὴ δίαιτα.

2. Compare καλῶς.

3. What change of aspirate takes place in τρεφω? Give other instances.

4. What is the English of, 1. αὕτη ἡ δίαιτα, 2. αὐτὴ ἡ δίαιτα, 3. ἐκείνη ἡ δίαιτα, 4. ἡ αὐτὴ δίαιτα? Might the position of any of these words be altered without affecting the meaning?

5. Explain the usage of καὶ ὃς.

6 What is the difference between εἴργω and εἶργω? Which is used in ἀπεῖρξαν?

7. *e.* Why is ἐπιθυμήσαντα in the accusative? What does it govern? What does τυχεῖν govern?

8. What is the construction of ὥστε, ὥστε οὐ, and ὥστε μὴ? How is it expressed in Latin?

Digitized by Google

LESSON LII.

20. The Wild Ass.

a. Ὄνος ἄγριος, ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπὶ τῇ τε εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει.

b. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη·

c. "Ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω, ὁρῶ γὰρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις."

V. 1. ἰδών. 2. προσελθὼν. 3 ἑπόμενον. 4. ἔχεις.

---

1. Decline ὄνος ἄγριος, εὐήλιος τις τόπος.
2. μακαρίζω, ὀλβίζω, εὐδαιμονίζω — what is the meaning of these words?
3. Derivation of, 1. εὐεξία, 2. ἄγριος, 3. ἀχθοφοροῦντα, 4. ὀνηλάτης, 5. εὐδαιμονία.
4. What is the force of ἔγωγε? What is it equivalent to in Latin?
5. Give the chief tenses of ὁράω; the cognate tenses of the future, perfect, and second aorist; the nominative and dative plural of its participles, with κατὰ and ἀπὸ prefixed.
6. Compare κακὸν μέγα, κακὰ μεγάλα, εὐδαιμονία μεγάλη, ὄνος μέγας.
7. Prefix ἐκ and ἀπὸ to all the active participles of ἔχω.
8. Translate the last sentence above into Latin.

END OF PART III.

Digitized by Google

PART IV.

EASY ODES FROM ANACREON.

LESSON LIII.

On his Lyre.

Θέλω λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
ἡ βάρβῐτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἥμειψα νεῦρα πρώην,
καὶ τὴν λύραν ἅπᾶσαν,
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρα δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρα γὰρ
μόνους Ἔρωτας ᾄδει.

---

1. What is the uncontracted form of ᾄδω and ἄθλος?
2. What dialectic form occurs above? Give the Attic form.
3. Parse ἥμειψα, χαίροιτε, and ἀντεφώνει.
4. Decline μόνος Ἔρως, ἡ λύρα ἅπᾶσα.
5. What other word has the same meaning as βάρβῐτος?

Digitized by Google

LESSON LIV.

Beauty, Woman's Weapon.

Φύσις κέρᾱτα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίαν λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθῦσιν τὸ νηκτὸν,
τοῖς ὀρνέοις πέτεσθαι,
τοῖς ἀνδρᾶσιν φρόνημα.
γυναιξὶν οὐκέτ' εἶχέν
τι οὖν; — δίδωσι κάλλος
ἀντ' ἀσπίδων ἁπᾶσῶν,
ἀντ' ἐγχέων ἁπάντων·
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

1. What is the contracted form of *κέρᾱτα* and *ἐγχέων*?
2. Parse *ἔδωκεν* (38) *πέτεσθαι*, and *δίδωσι*.
3. Derivation of, 1. *ποδωκία*, 2. *νηκτὸν*, and 3. *φρόνημα*?
4. Give the nominative of the animals mentioned here.
5. Decline *ἀσπίδες ἅπᾶσαι*, *ἔγχη ἅπαντα*.
6. What is the force of *τις* added to an adjective?

LESSON LV.

Cupid's Stratagem.

Μεσονυκτίοις ποθ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέᾱται κόπῳ δαμέντα,

τοτ' Ἔρως ἐπιστᾰθείς μου
Ῥυρέων ἔκοπτ' ὀχῆας.
"τίς," ἔφην, "Ῥύρας ἀράσσει;
κατά μου σχίσεις ὀνείρους."
Ὁ δ' Ἔρως, "ἄνοιγε," φησὶ,
βρέφος εἰμὶ, μὴ φόβησαι,
βρέχομαι δὲ, κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.

1. Derivation of, 1. μεσονύκτιος, 2. μέρυπες, 3. ὀχῆας, and 4. ἀσέληνος
2. What dialectic words above want altering to make them Attic?
3. What is τμῆσις? Give examples.
4. Parse, 1. κέαται, 2. δαμέντα, 3. ἐπιστᾰθείς, 4. κατασχίσεις, 5. φόβησαι (11), 6. πεπλάνημαι.
5. What is the first aorist passive of ἀνοίγω?
6. What is the difference between πλανάω and πλανάομαι? What tenses do some deponents borrow from the passive?

LESSON LVI.

The same — *continued.*

Ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον,
πτέρυγας τε, καὶ φαρέτραν·
παρὰ δ' ἑστίαν καθίξας,
παλάμαισι χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.

1. Parse, 1. ἐλέησα, 2. ἀνάψας, 3. ἀνέῳξα, and 4. καθίξας.
2. What instance of τμῆσις is there above?
3. ἐσορῶ, φέροντα. Give the chief tenses and their participles.
4. Explain βρέφος φέροντα τόξον. What is this grammatical figure called?
5. Decline πτέρυξ καὶ φαρέτρα, ὑγρὸν ὕδωρ.
6. What is the meaning of the imperfect in lines 8 and 9?

Digitized by Google

LESSON LVII.

The same — *continued.*

Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
" φέρε," φησὶ, " πειράσωμεν
τόδε τόξον, εἴ τί μοι νῦν
βλάβεται βραχεῖσα νευρά."
ταν῰ῦ ει δὲ, καί με τύπτει
μέσον ἦπαρ, ὥσπερ οἶστρος,
ἀνὰ δ' ἄλλεται καχάζων,
" ξένε δ'," εἶπε, " συγχάρηθι.
κέρας ἀβλαβὲς μὲν ἔστι,
σὺ δὲ καρδίαν πονήσεις."

1. Parse, 1. μεθῆκε, 2. πειράσωμεν, 3. βραχεῖσα, 4. συγχάρηθι.
2. Derivation of, 1. ταν῰ύω, 2. ἀβλαβὲς, 3. πονήσεις?
3. What is βλάβεται for?
4. What instance of tmesis occurs above?
5. Give the chief tenses of μεθῆμι (41), φέρω (33), φημὶ (44).
6. Decline νευρὰ, ἦπαρ, and κέρας (with contractions).

LESSON LVIII.

Anacreon growing old.

Λέγουσιν αἱ γυναῖκες,
" Ἀνακρέων, γέρων εἶ·
λαβὼν ἔσοπτρον, ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σου μέτωπον."
ἐγὼ δὲ τὰς κόμας μὲν,
εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,

Digitized by Google

οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὰ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρας.

1. Parse, 1. λαβὼν, 2. ἄθρει, 3. οὖσας, 4. ἀπῆλθον.
2. Derivation of, 1. ἔσοπτρον, 2. μέτωπον.
3. Compare all the adjectives above.
4. Go through the tense οἶδα. What is its pluperfect? Give the cognate tenses.
5. Read off all the words as they would be found in the dictionary, thus, λέγω, ὁ ἡ τὸ, γυνὴ, κ. τ. λ. What does κ. τ. λ. mean?

LESSON LIX.

Wine cures Care.

Ὅταν πίω τὸν οἶνον,
εὖδουσιν αἱ μέριμναι.
τί μοι γόων, τί μοι πόνων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω·
τί τὸν βίον πλανῶμαι;
πίωμεν οὖν τὸν οἶνον
τὸν τοῦ καλοῦ Λυαίου·
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὖδουσιν αἱ μέριμναι.

1. What mood is πίω? Why? Parse it, and give the chief tenses and the participles.
2. Derivation of, 1. μέριμναι and, 2. Λυαίου?
3. What is the construction of μέλει? How can it be changed into a personal verb?
4. Parse θανεῖν, θέλω. What mood is the latter?
5. Give the tenses of δεῖ.
6. Account for ἡμᾶς (l. 9) and for βίον (l. 6).

Digitized by Google

LESSON LX.

Cupid and the Bee.

Ἔρως ποτ' ἐν ῥόδοισι
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον, πατάξας
τὰς χεῖρας, ὠλόλυξε·
δραμὼν δὲ καὶ πεπασθεὶς
πρὸς τὴν καλὴν Κυθήραν,
"ὄλωλα, μῆτερ," εἶπεν,
"ὄλωλα κἀποθνήσκω.
ὄφις μ' ἔτυψε μῑκρὸς,
πτερωτὸς, ὃν καλοῦσι
μέλιτταν οἱ γεωργοί."
ἡ δ' εἶπεν· "εἰ τὸ κέντρον
πονεῖ τὸ τῆς μελίττης,
πόσον δοκεῖς πονοῦσιν
Ἔρως, ὅσους σὺ βάλλεις;"

---

1 Difference between κοιμάω and κοιμῶμαι?
2 Parse, 1. ἐτρώθη, 2. ὠλόλυξε, 3. δραμὼν, 4. πεπασθεὶς, 5. ὄλωλα.
3. Derivation of μέλιττα, πτερωτὸς, γεωργοί?
4. Give all the tenses of τρέχω and βάλλω and their active participles.
5. Decline ἡ καλὴ Κυθήρα, ὄφις μικρὸς.
6. Give the tenses of ὄλλυμι and ὄλλῡμαι, and the Latin for each.
7. Is there anything peculiar in the construction of l. 15?

END OF PART IV.

Digitized by Google

PART V.

THE CHOICE OF HERCULES.

LESSON LXI.

§ 1. Πρόδικος δὲ ὁ σοφὸς, ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ καὶ δὴ πλείστοις ἐπιδείκνυται, περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι.

§ 2. Φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, (ἐν ᾗ οἱ νέοι, ἤδη αὐτοκράτορες γιγνόμενοι, δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας,) ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται.

---

1. Parse, 1. ὅπερ, 2. πλείστοις, 3. ἐπιδείκνυται, 4. ἀποφαίνεται, 5. μέμνημαι, 6. ὡρμᾶτο, 7. καθῆσθαι.
2. Derivation of, 1. συγγράμματι, 2. αὐτοκράτορες, 3. ἀποροῦντα.
3. Where does this story come from?
4. Who was Prodicus? ὁ σοφὸς — what other name is more usual?
5. What is the English of μέμνημαι? Give other instances of a similar change of meaning.
6. Translate ἐκ παίδων εἰς ἥβην ὡρμᾶσθαι.
7. Why is ὁδὸν in the accusative?
8. τὴν δι' ἀρετῆς ὁδὸν — when only can the article be separated from its noun?
9. What does ἐξελθόντα agree with?
10. Why is καθῆσθαι in the infinitive and ἀποροῦντα in the accusative?

Digitized by Google

11. When is *πότερος*, when *ὁπότερος* used? What form of *τίς* corresponds with the latter?

12. Why is *τράπηται* in the subjunctive? Would *τράποιτο* have done as well?

LESSON LXII.

§ 3. *Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ.*

§ 4. *Τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ ϑαμὰ ἑαυτὴν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν ϑεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν αὐτῆς σκιὰν ἀποβλέπειν.*

1. Parse, 1. *φανῆναι*, 2. *προσιέναι*, 3. *τεθραμμένην*, 4. *ἀναπεπταμένα*.

2. Derivation of, 1. *εὐπρεπῆ*, 2. *καθαρότητι*, 3. *σωφροσύνῃ*, 4. *ἐσθῆτι*.

5 *πολυσαρκίαν*, 6. *ἁπολότητα*, 7. *κεκαλλωπισμένην*.

3. Compare, in the same case, number, and gender, 1. *μεγάλας*, 2. *εὐπρεπῆ*, 3. *ἐλευθέριον*.

4. What is the difference of meaning between *φαίνω* and *φαίνομαι*? Give the chief tenses of each. Why is *φανῆναι* in the infinitive?

5. Why is *τὸ σῶμα* in the accusative?

6. Account for the aspirate in *τεθραμμένην*. Give other instances.

7. What does *ὥστε* govern in § 4? What moods follow *ὥστε*, *ὥστε μὴ*, *ὥστε οὐκ*?

8. Why is *τοῦ ὄντος* in the genitive? Compare the Greek and Latin usage in this respect.

9. Account for all the infinitives in § 4.

10. What mood is *ϑεᾶται*? What does it follow? Give the rule for *εἰ* and *ἐάν*.

11. What is the force of *ἀπὸ* in *ἀποβλέπειν*?

Digitized by Google

LESSON LXIII.

§ 5. Ὡς δὲ ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν.

§ 6. "Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ· ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσει.

§ 7. "Πρῶτον μὲν γὰρ σὺ πολέμῳ οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διάξεις, τί ἂν κεχαρισμένον, ἢ σιτίον ἢ ποτὸν εὕροις.

---

§ 1. Ἤδη, already; ἀγορὰ πλήθουσα, (time of) full market; πλησίον, near; σταθμὸς, halting-place, stage; ἔνθα, where; μέλλω, to intend; κατα-λῦω, to halt; ἡνίκα, when; πιστὸς, faithful, trustworthy; προφαίνομαι, to appear, come in sight; ἐλαύνω, to ride ἀνὰ κράτος, at full speed; ἱδρόω, to be in a

Digitized by Google

sweat: ἐντυγχάνω, to meet; βοάω, to shout; βαρβαρικῶς, in any language not Greek, here, in Persian; Βασιλεὺς, without the article = the king of Persia; παρασκευάζω, to prepare.

§ 2. Τάραχος, confusion; αὐτίκα, immediately; δοκέω, to think; καὶ πάντες δὲ, and all in fact, and all the rest too; ἄτακτος, not drawn up in battle array, in disorder; ἐπι-πίπτω (28), to fall upon.

§ 3. Κατα-πηδάω, jump down; ἅρμα, chariot, θώραξ = lorica, breast-plate; ἐνδύω, to put on; ἀνα-βαίνω, to mount; παλτὸν, javelin; παρ-αγγέλλω, to pass on orders; ἐξ-οπλίζω, to arm thoroughly; καθ-ίστᾶμαι, to take one's place; τάξις, rank.

§ 4. Σπουδὴ, haste; δεξιὸς, right; κέρας, wing (of an army); ἐχόμενος, next; εὐώνῡμος, left.

§ 5. Ἱππεὺς, horseman; χῑ́λιοι, 1000; πελταστικὸν, (body of) targeteers; ὕπαρχος, lieutenant.

---

1. *b.* ἐπι-πίπτω (28). *c.* ἀνα-βαίνω (6).

2. *a.* ἵστημι, *to cause to halt.* *b.* εὐ-όνυμα, an euphemistic (*i. e.* good instead of the naturally bad) name for the left hand, omens from that quarter being unlucky; so, to avoid an unlucky word, the left hand is called εὐώνῡμος instead of δυσώνυμος, and ἀριστερὰ, from ἄριστος. *c.* πελτὴ, a light leathern shield.

3. It is followed by future, present, aorist; but of these the last is the rarest (for the augment, see W. § 53, *obs.* 2).

5. Lesson IX. 7.

7. Reflexive pronoun, after ἐπιπεσεῖσθαι. σφίσι, *sibi*; αὐτοῖς, *eis*; ἐκείνοις, *illis.*

8. ἔχομαί τινος, *to hold on to a man, be near him.*

9. See Gk. Cd. after cognates.

LESSON LXXIV.

§ 6. Ὅσον ἑξακόσιοι, about 600; ὁπλίζω, to arm; θώραξ (§ 3); παραμηρίδιον, thigh-piece; κράνος, helmet; ψιλὸς, bare, undefended; κεφαλὴ, head;

Digitized by Google

καθίστᾰτο (§ 3); δια-κινδυνεύω, expose oneself to danger.

§ 7. Προ-μετωπίδιον, frontlet; προ-στερνίδιον, breast-plate; μάχαιρα, dagger.

§ 8. Οὔπω, not yet; καταφᾰνὴς, in sight; οἱ πολέμιοι, the enemy; ἡνί᾽κα (§ 1); δείλη, evening; κονιορτὸς, cloud of dust; νεφέλη, cloud; λευκὸς, white; χρόνος, time; συχνὸς, great, long; ὕστερον, afterwards; μελανία τις, something black; πεδίον, plain; ἐγγὺς, near; τάχα δὴ, by some chance; χαλκὸς, piece of brass; ἀστράπτω, to glisten; λογχὴ, spear-point.

§ 9. Λευκὸς (§ 8); Ϝώραξ (§ 3); ἄρχω, to command; ἐχόμενος (§ 5); γέρρον, wicker shield; φέρω (§ 33); ὁπλῖτης, heavy-armed soldier; ποδήρης, reaching to the feet; ξύλϊνος, wooden; ἀσπὶς, shield; τοξότης, bowman, archer; ἔθνος, tribe; πλαίσιον πλῆρες ἀνθρώπων, (square full of men =) solid square; ἕκαστος, each; πορεύομαι, to march.

---

1. a. ὁπλίζω[17], καθ-ίστημι (36). d. ἔχω[2] (15). e. φαίνομαι[22].
2. a. παρὰ, by; μῆρος, thigh. b. πρὸ, in front of; μέτωπον, the forehead. c. πρὸ, στέρνον, the breast; κόνις, dust; ὄρνῦμι, to raise. h. ὅπλα, heavy arms. i. πούς, ποδὸς, foot; ἄρω or ἀραρίσκω, to fit.

LESSON LXXV.

§ 10. Διαλείποντα συχνὸν, at a considerable distance; ἀλλήλω, each other; τὰ δὴ καλούμενα, those, you must know, those, namely, which are called; δρεπᾰνὴ = δρέπανον, a scythe; φέρω (§ 33); ἄξων, axle; πλάγιος, side-ways; ἀπο-τείνω (τενῶ, τέτᾰκα, τέτᾰμαι, ἐτᾰ́θην), to stretch out; δίφρος, seat of chariot; βλέπω, to look; δια-κόπτω, to cut in two; ἐν-

Digitized by Google

τυγχάνω (§ 33), to meet with; γνώμη, intention; ὡς ἐλῶντα, (as though they should =) that they should drive, = ἐλάσοντα (§ 13).

§ 11. Ὅ, in that = whereas, as to what; μέντοι, however; παρα-κελεύω, to pass along orders; κραυγή, shouting; ἀνέχομαι, to endure; ψεύδομαι, to be disappointed; σιγῇ ὡς ἀνυστὸν, as silently as possible; ἡσῠχῇ, quietly; ἐν ἴσῳ, evenly; βραδέως, slowly; πρόσ-ειμι, to approach.

§ 12. Ἐν τούτῳ, interea; παρ-ελαύνω, to ride along; αὐτὸς, in person; ἑρμηνεὺς, interpreter; βοάω, to shout out; νικάω, to conquer.

§ 13. Στῖφος, crowd; ἔξω, beyond; τοσοῦτον πλήθει περί-ειμι, I am so superior in numbers; ὅμως, nevertheless; ἀπο-σπάω, to withdraw; ποτᾰμὸς, river; φοβέομαι, to fear; κυκλόω, to surround; ἑκατέρωθεν, on both sides; ἀπο-κρῑ́νομαι, to answer; μέλει μοι, I take care; καλῶς ἔχει, it is well, all is right.

---

2. *b.* ἀνύω or ἀνύτω, *to accomplish*, = as far as could be accomplished. *c.* Ἑρμῆς, *Mercurius interpres Divûm.*
3. *a. Happen to meet with*, any indefinitely; *b. some one in particular which they actually did meet with.*
4. Gk. Cd. App. 5, δ.
6. W. § 163, *obs.*
7. W § 142.
11. W. § 156.
12. καὶ ἦν (Lesson XXXV. 9).

LESSON LXXVI.

§ 14. Καιρὸς, conjuncture, time; ὁμᾰλῶς, evenly; πρὸ, εἶμι, to advance; ἔτι, still; συν-τάττω, to draw up in battle array, settle in rank; προσιόντων (§ 11); παρ-ελαύνω (§ 12), οὐ πάνυ πρὸς, not quite close to;

Digitized by Google

κατα-θεάομαι, reconnoitre; *ἐκατέρωσε*, in both directions; *ἀπο-βλέπω*, to look steadily. (Less. LXII. qu. 11.)

§ 15. Ὑπ-ελαύνω, to ride up; *συναντάω*, to meet; *ἔρομαι*, to ask; *παρ-αγγέλλω* (§ 3); *ἐφίστημι*, to halt, pull up (*τὸν ἵππον*); *κελεύω*, to bid; *ἱερὸν*, sacrifice; *σφάγιον*, victim; *καλὸς*, favourable.

§ 16. Θόρῠβος, noise, confusion; *σύνθημα*, watch-word; *παρ-έρχομαι*, to go along, be passed along; *καὶ ὃς*, and he; *θαυμάζω*, to wonder; *ἀποκρῑ́νομαι* (§ 13); *Ζεὺς*, Zeus (=Jupiter); *σωτὴρ*, saviour.

§ 17. Ἀλλὰ, well! *δέχομαι*, I accept, hail with pleasure; *χώρα*, position, ground; *στάδιον*, furlong; *δι-έχω*, to be distant; *φάλαγξ*, phalanx, solid body of soldiers; *παιανίζω*, sing the pæan or war-song; *ἀντίος*, opposite, straight at.

---

1. W. § 80, p. 99. *e.* ἔρομαι[9].
2. *a.* ὁμοῦ, *together*. *b.* συν-τίθημι, *word agreed upon*.
6. Joined by εἰ to a past verb, ἤρετο.
7. *a.* ἐρωτᾷ εἰ παραγγέλλει. *b.* ἐρωτᾷ τίς ὁ Θόρυβός ἐστι.
8. Gk. Cd. after cognates.
9. καὶ ὃς (Lesson LI. 5).

LESSON LXXVII.

§ 18. Πορεύομαι (§ 9, gen. absol. without any noun expressed), while they were marching; *ἐκ-κυμαίνω*, to wave out from the straight line (*κῦμα*, a wave); *τὶ τῆς*, a portion of the; *ἐπι-λείπω*, to leave behind; *ἄρχομαι*, to begin; *δρόμῳ θέω*, to run at full speed; *φθέγγομαι*, to shout out; Ἐνυάλιος, Ares (= Mars); *ἐλελίζω* = *παιανίζω* (§17); *καὶ πάντες δὲ* (§ 2); *ἀσπὶς* (§ 9); *δόρυ*, spear; *δουπέω*, to rattle.

§ 19. Πρὶν *τόξευμα ἐξικνεῖσθαι*, before an arrow

Digitized by Google

reached them; *ἐκ-κλίνω*, to waver; *φεύγω*, to fly; *ἐνταῦθα δὴ*, thereupon; *διώκω*, to pursue; *κατὰ κράτος*, with all their might; *βοάω* (§ 12); *θεῖν δρόμῳ* (§ 18); *ἕπομαι*, to keep together, follow close.

§ 20. *Κενὰ ἡνιόχων*, without drivers; *προ-οράω*, to see beforehand, see them coming; *δι-ίστᾰμαι*, to stand apart; *ἔστι δ' ὅστις = ἔστι δέ τις, ὃς . . . καταλαμβάνω*, to catch; *ἱππόδρομος*, race-course; *ἐκ-πλήσσω*, to frighten thoroughly; *μέντοι* (§ 11); *οὐδὲ τοῦτον*, ne illum quidem; *πάσχω* (§ 26); *οὐδ' ἄλλος δὲ* (the negative of *καὶ . . . δὲ*, § 2), nor, in fact, any other; *πλὴν*, except that; *τοξεύω*, to shoot with an arrow.

---

1. 1. *a. ἄρχομαι. c. προ-οράω* (25), cognates 12. *f. ἐκ-πλήσσω*[22].
2. *b. To cry; ἐλελεῦ, to shout hurrah! c. ὁ ἡνία ἔχων, he who holds the reins. d.* See Lesson LXXIII. 2.
3. W. § 44, *obs.* 1.
7. W. § 118.
9. *ἐκπλήγην τὸ σῶμα. ἐξ-επλάγην τὴν φρένα*, the former of bodily wounds or hurts, the latter of mental astonishment or alarm.

LESSON LXXVIII.

§ 21. *Τὸ καθ' ἑαυτοὺς*, the part opposite themselves; *ἥδομαι*, to be pleased; *προσκυνέω*, to offer homage, worship; *οὐδ' ὣς, ne sic quidem*, not even thus; *ἐξ-άγω*, to induce; *συ-σπειράω* (W. p. 135, § 5), to form in close order; *ἐπιμελέομαι*, to watch attentively; *ᾔδει* (pluperf. of *οἶδα, cum vi imperfecti*), he knew; *αὐτὸν*, with regard to him.

§ 22. *Ἄρχω* (§ 9); *ἡγέομαι*, to lead; *νομίζω*, to deem; *οὕτω*, thus; *ἀσφᾰλὴς*, safe; *ἰσχὺς*, forces; *ἑκατέρωθεν* (§ 13); *παρ-αγγέλλω* (§ 3); *χρήζω*, to wish; *ἥμῐσυς*, half; *αἰσθάνομαι* (§ 48).

Digitized by Google

§ 23. Ὅμως, nevertheless; ἔξω (§ 13); ἐκ τοῦ ἐναντίου, straight in front, opposite; ἔμπροσθεν, before him; ἐπι-κάμπτω, to wheel round (the wings); ὡς εἰς κύκλωσιν, so as to surround the enemy.

§ 24. Δείδω, to fear (§ 87); ὄπισθεν, behind; κατα-κόπτω, to cut in pieces; ἀντίος, straight ahead; ἐμ-βάλλω, to charge, fall upon; τρέπω, to turn; ἀπο-κτείνω (19).

---

2. *a.* προς-κυνέω, *to fawn upon like a dog,* κύων. *b.* σύν, σπεῖρα, *a body of troops,* manipulus.

3. ὡς, *as, so;* ὧς, *thus.*

5. Lesson LXXXIII. § 1.

6. οἶδά σε, τίς εἶ, *I know thee who thou art;* here σὺ ought to be the nominative of the subordinate verb εἶ; instead of this, it is *attracted* towards the chief verb, and is governed by it; this is called *Attic attraction.* Λέγω, οἶδα, εἶπον, &c. attract in this way.

8. It either agrees with the noun, or governs it in the genitive, taking the gender of the word governed; as, ἥμισυς χρόνος, ἡ ἡμίσεια τῆς ἡμέρας, οἱ ἡμίσεις τῶν στρατιωτῶν, αἱ ἡμίσειαι τῶν νεῶν; for the latter the neuter is sometimes used, as, τὸ ἥμισυ τῆς ἡμέρας, treating it as a substantive.

10. δείσας μὴ κατακόψῃ, *veritus ne deleret.*

LESSON LXXIX.

§ 25. Τροπή, flight; δια-σπείρω, to separate; ὁρμάω, to rush; πλήν (§ 20); ὁμοτράπεζοι, his table-companions.

§ 26. Καθ-οράω, to catch sight of, spy; στῖφος (§ 13); εὐθύς, immediately; ἀνέχομαι, to contain oneself; ἵεμαι (mid. of ἵημι), to rush; παίω, to strike; στέρνον, breast; τιτρώσκω (W. p. 118), to wound; ᾠρᾱξ (§ 3); ἰᾱτρός, physician (fr. ἰάομαι, to heal); τραῦμα, wound.

§ 27. Ἀκοντίζω παλτῷ, hit with a javelin; βιαίως,

Digitized by Google

violently; *ὑπὲρ ἑκατέρου*, on behalf of each; *ὁπόσοι*, how many; *ἄριστος*, best; *κεῖμαι*, to lie.

§ 28. *Σκῆπτρον*, wand, and *ἔχω*, to bear; *θεράπων*, attendant; *πίπτω* (28); *καταπηδάω* (§ 3); *περι-πίπτω*, to throw oneself upon.

§ 29. *Ἐπι-σφάζω*, to slaughter one over another; *σπάω*, to draw; *ἀκῑνάκης*, scimitar, short curved sword; *χρυσόεις*, made of gold; *καὶ ... δὲ* (§ 2); *στρεπτὸς*, a twisted collar; *φορέω*, to wear; *ψέλλιον*, bracelet; *τιμάω*, to honour; *εὔνοια*, good will; *πιστότης*, fidelity; (Ch. X. § 1) *ἀπο-τέμνω* (29), to cut off; *εἰσ-πίπτω*, to rush into, fall upon; *στρατόπεδον*, camp.

---

2. *a. ὁμοῦ, together; τράπεζα, table. c. στρατοῦ-πέδον, army-ground, camp.*

3. W. § 59, *b.*

4. W. § 54, *obs.* 3.

6. *πόσοι εἰσί*, direct question; *λέγε μοι ὁπόσοι εἰσί*, indirect question; s., *τίνες ἐστέ*; *ἔλεξεν οἵτινες εἶεν.*

10. The commonest is *ὑπὸ*; but *πρὸς* and *ἀπὸ* are also used, and *ἐκ* in Herodotus.

11. B. C. 559, Cyrus; 529, Cambyses; 521, Darius Hystaspis; 485 Xerxes I.; 465, Artabanus; 465, Artaxerxes Longimănus; 425, Xerxes II.; 425, Sogdianus; 424, Darius Nothus; 405, Artaxerxes Mnemon; 359, Ochus; 338, Arses; 336—331, Darius Codomannus, conquered by Alexander the Great at the battle of Arbēla.

END OF PART XI.

Digitized by Google

PART XII.

EXTRACTS FROM XENOPHON'S ANABASIS, BOOKS I—III.

CHARACTER OF CYRUS. I. ix.

(1) *Cyrus as a boy.*

1. Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται τῶν Κῦρου δοκούντων ἐν πείρᾳ γενέσθαι. 2. Πρῶτον μὲν γὰρ ἔτι παῖς ὢν, ὅτε ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισὶ, πάντων πάντα κράτιστος ἐνομίζετο. 3. Πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτ' ἀκοῦσαι, οὔτ' ἰδεῖν ἐστι. 4. Θεῶνται δ' οἱ παῖδες καὶ τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους· ὥστ' εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι. 5. Ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλικιωτῶν ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι· ἔπειτα δὲ φιλιππότατος καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι. Ἔκρινον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατον εἶναι καὶ μελετηρότατον. 6. Ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθηρότατος ἦν, καὶ πρὸς τὰ θηρία μέντοι φιλοκινδυνότατος.

Digitized by Google

Καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου· καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς φανερὰς εἶχε, τέλος δὲ κατέκτανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαριστὸν ἐποίησεν.

(2) *Cyrus's popularity as a satrap.*

7. Ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὐτὸν ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο καὶ εἴ τῳ σύνθοιτο καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι. 8. Καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ' οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν. 9. Τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἐκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους, πλὴν Μιλησίων· οὗτοι δὲ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. 10. Καὶ γὰρ ἔργῳ ἐπεδείκνυτο καὶ ἔλεγεν ὅτι οὐκ ἄν ποτε πρόοιτο, ἐπεὶ ἅπαξ φίλος αὐτοῖς ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ καὶ κάκιον πράξειαν. 11. Φανερὸς δ' ἦν, καὶ εἴ τίς τι ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτὸν, νικᾶν πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον χρόνον ζῆν ἔστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. 12. Καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ ἑνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν ἐπεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματα προέσθαι.

(3) *His strictness in his government.*

13. Οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλὰ ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. Πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στιβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν

Digitized by Google

στερουμένους ἀνθρώπους· ὥστε ἐν τῇ Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλλησι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι ἀδεῶς πορεύεσθαι ὅπῃ τις ἤθελεν, ἔχοντι ὅ τι προχωροίη.

14. Τούς γε μέντοι ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾶν. Καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πεισίδας καὶ Μυσούς· στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας, ἔπειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμα· 15. ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς δούλους τούτων ἀξιοῦσθαι εἶναι. Τοιγαροῦν πολλὴ ἦν ἀφθονία αὐτῷ τῶν ἐθελόντων κινδυνεύειν ὅπου τις Κῦρον οἴοιτο αἰσθήσεσθαι.

(4) *His popularity as a general.*

16. Εἴς γε μὴν δικαιοσύνην εἴ τις αὐτῷ φανερὸς γένοιτο ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρους ποιεῖν τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων. 17. Καὶ γὰρ οὖν ἄλλα τε πολλὰ δικαίως αὐτῷ διεχειρίζετο καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο. Καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοὶ οὐ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἀλλ' ἐπεὶ ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ καλῶς πειθαρχεῖν ἢ τὸ κατὰ μῆνα κέρδος. 18. Ἀλλὰ μὴν εἴ τις γέ τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. Τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι. 19. Εἰ δέ τινα ὁρῴη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου, κατασκευάζοντά τε ἧς ἄρχοι χώρας, καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλ' ἀεὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν, καὶ θαῤῥαλέως ἐκτῶντο, καὶ ἃ ἐπέπατο αὖ τις ἥκιστα Κῦρον ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ἀποκρυπτομένων χρήμασιν. 20. Φίλους γε μὴν ὅσους ποιήσαιτο, καὶ εὔνους γνοιη ὄντας, καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι ὅ τι τυγχάνοι

Digitized by Google

βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν. 21. Καὶ γὰρ αὐτὸ τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου, ὅτου ἕκαστον αἰσθάνοιτο ἐπιθυμοῦντα.

(5) *His kindness to his friends and followers*

22. Δῶρα δὲ πλεῖστα μὲν, οἶμαι, εἴς γε ἀνὴρ ὢν ἐλάμβανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου, πρὸς τοὺς τρόπους ἑκάστου σκοπῶν, καὶ ὅτου μάλιστα ὀρῴη ἕκαστον δεόμενον. 23. Καὶ ὅσα τῷ σώματι αὐτοῦ κόσμον πέμποι τις, ἢ ὡς εἰς πόλεμον ἢ ὡς εἰς καλλωπισμὸν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμηθῆναι, φίλους δὲ καλῶς κεκοσμημένους μέγιστον κόσμον ἀνδρὶ νομίζοι. 24. Καὶ τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα οὐδὲν θαυμαστὸν, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα ἔμοιγε μᾶλλον δοκεῖ ἀγαστὰ εἶναι. 25. Κῦρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων ὅτι οὕπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· τοῦτον οὖν σοὶ ἔπεμψε, καὶ δεῖταί σου τοῦτον ἐκπιεῖν τήμερον, σὺν οἷς μάλιστα φιλεῖς. 26. Πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα· Τούτοις ἥσθη Κῦρος· βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι. 27. Ὅπου δὲ χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δ' ἐδύνατο παρασκευάσασθαι διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλόν, ὡς μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. 28. Εἰ δὲ δή ποτε πορεύοιτο καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο, ὡς δηλοίη, οὓς

Digitized by Google

τιμᾷ· ὥστε ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι, οὔτε Ἑλλήνων οὔτε βαρβάρων.

(6) *Devotion of his followers to him.*

29. Τεκμήριον δὲ τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπῆει πρὸς βασιλέα· πλὴν Ὀρόντας ἐπεχείρησε· καὶ οὗτος δὲ ὃν ὤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν εὗρε Κύρῳ φιλαίτερον ἢ ἑαυτῷ· παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ἀπῆλθον, ἐπειδὴ πολέμιοι ἀλλήλοις ἐγένοντο, καὶ οὗτοι μέντοι οἱ μάλιστα ὑπ' αὐτοῦ ἀγαπώμενοι, νομίζοντες παρὰ Κύρῳ ὄντες ἀγαθοὶ ἀξιωτέρας ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. 30. Μέγα δὲ τεκμήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. 31. Ἀποθνήσκοντος γὰρ αὐτοῦ, πάντες οἱ παρ' αὐτὸν φίλοι καὶ συντράπεζοι μαχόμενοι ἀπέθανον ὑπὲρ Κύρου, πλὴν Ἀριαίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ, τοῦ ἱππικοῦ ἄρχων· ὡς δ' ἤσθετο Κῦρον πεπτωκότα, ἔφυγεν, ἔχων καὶ τὸ στράτευμα πᾶν οὗ ἡγεῖτο.

RETURN OF THE TEN THOUSAND.

(7) *Results of the death of Cyrus.* I. x.

1. Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ χεὶρ ἡ δεξιά. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ διώκων εἰσπίπτει εἰς τὸ Κυρεῖον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκ ἔτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐτῶν στρατοπέδου εἰς τὸν σταθμὸν, ἔνθεν ὥρμηντο· τέτταρες δ' ἐλέγοντο παρασάγγαι εἶναι τῆς ὁδοῦ. 2. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ τά τε ἄλλα πολλὰ διαρπάζουσι, καὶ τὴν Φωκαΐδα τὴν Κύρου παλλακίδα, τὴν σοφὴν καὶ καλὴν λεγομένην εἶναι, λαμβάνει. 3. Ἡ δὲ Μιλησία, ἡ νεωτέρα ἦν, ληφθεῖσα ὑπὸ τῶν ἀμφὶ βασιλέα ἐκφεύγει γυμνὴ πρὸς τῶν Ἑλλήνων οἳ ἔτυχον ἐν τοῖς σκευοφό-

Digitized by Google

ροις ὅπλα ἔχοντες, καὶ ἀντιταχθέντες πολλοὺς μὲν τῶν ἁρπαζόντων ἀπέκτειναν· οἱ δὲ καὶ αὐτῶν ἀπέθανον· οὐ μὴν ἔφυγόν γε, ἀλλὰ καὶ ταύτην ἔσωσαν καὶ τὰ ἄλλα, ὁπόσα ἐντὸς αὐτῶν καὶ χρήματα καὶ ἄνθρωποι ἐγένοντο, πάντα ἔσωσαν. 4. Ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε καὶ οἱ Ἕλληνες ὡς τριάκοντα στάδια, οἱ μὲν διώκοντες τοὺς καθ' αὑτούς, ὡς πάντας νικῶντες· οἱ δὲ ἁρπάζοντες, ὡς ἤδη πάντες νικῶντες. 5. Ἐπεὶ δ' ἤσθοντο οἱ μὲν Ἕλληνες, ὅτι βασιλεὺς σὺν τῷ στρατεύματι ἐν τοῖς σκευοφόροις εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ Ἕλληνες νικῷεν τὸ καθ' αὑτούς, καὶ εἰς τὸ πρόσθεν οἴχονται διώκοντες, ἐνταῦθα δὴ βασιλεὺς μὲν ἀθροίζει τε τοὺς ἑαυτοῦ, καὶ συντάττεται· ὁ δὲ Κλέαρχος ἐβουλεύετο, Πρόξενον καλέσας (πλησιαίτατος γὰρ ἦν), εἰ πέμποιέν τινας, ἢ πάντες ἴοιεν ἐπὶ τὰ στρατόπεδον ἀρήξοντες.

(8) *Approach of the King and Tissaphernes.*

6. Ἐν τούτῳ καὶ βασιλεὺς πάλιν δῆλος ἦν προσιών, ὡς ἐδόκει, ὄπισθεν. Καὶ οἱ μὲν Ἕλληνες στραφέντες παρεσκευάζοντο, ὡς ταύτῃ προσιόντος καὶ δεξόμενοι· ὁ δὲ βασιλεὺς ταύτῃ μὲν οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος, ταύτῃ καὶ ἀπήγαγεν, ἀναλαβὼν καὶ τοὺς ἐν τῇ μάχῃ κατὰ τοὺς Ἕλληνας αὐτομολήσαντας, καὶ Τισσαφέρνην καὶ τοὺς σὺν αὐτῷ. 7. Ὁ γὰρ Τισσαφέρνης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυγεν, ἀλλὰ διήλασε παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελταστάς· διελαύνων δὲ κατέκτανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς· Ἐπισθένης δὲ Ἀμφιπολίτης ἦρχε τῶν πελταστῶν, καὶ ἐλέγετο φρόνιμος γενέσθαι. 8. Ὁ δ' οὖν Τισσαφέρνης, ὡς μεῖον ἔχων ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τὸ τῶν Ἑλλήνων, ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο.

Digitized by Google

(9) *The Greeks rout the Persians.*

9. Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες μὴ προσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ κέρας καὶ ποιήσασθαι ὄπισθεν τὸν ποταμόν. 10. Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς, παραμειψάμενος εἰς τὸ αὐτὸ σχῆμα κατέστησεν ἐναντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος συνῄει. Ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους, αὖθις πάλιν παιανίσαντες ἐπῄεσαν πολὺ ἔτι προθυμότερον ἢ τὸ πρόσθεν. 11. Οἱ δ' αὖ βάρβαροι οὐκ ἐδέχοντο, ἀλλ' ἐκ πλέονος ἢ τὸ πρόσθεν ἔφευγον· οἱ δ' ἐπεδίωκον μέχρι κώμης τινός· ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες· 12. ὑπὲρ γὰρ τῆς κώμης γήλοφος ἦν, ἀφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα, πεζοὶ μὲν οὐκ ἔτι, τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη, ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν. Καὶ τὸ βασίλειον σημεῖον ὁρᾶν ἔφασαν, ἀετόν τινα χρυσοῦν ἐπὶ πέλτης ἀνατεταμένον.

(10) *The Greeks await the return of Cyrus.*

13. Ἐπεὶ δὲ καὶ ἐνταῦθ' ἐχώρουν οἱ Ἕλληνες λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς· οὐ μέντοι ἔτι ἰθρόοι, ἀλλ' ἄλλοι ἄλλοθεν· ἐψιλοῦτο δ' ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάντες ἀπεχώρησαν. 14. Ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ' ὑπ' αὐτὸν στήσας τὸ στράτευμα, πέμπει Λύκιον τὸν Συρακούσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον, καὶ κελεύει κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου τί ἐστιν, ἀπαγγεῖλαι. 15. Καὶ ὁ Λύκιος ἥλασέ τε καὶ ἰδὼν ἀπαγγέλλει ὅτι φεύγουσιν ἀνὰ κράτος. Σχεδὸν δ' ὅτε ταῦτα ἦν, καὶ ἥλιος ἐδύετο. 16. Ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες, καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ ἅμα μὲν ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο, οὐδ' ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς παρείη· οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα, ἀλλ'

Digitized by Google

εἴκαζον ἢ διώκοντα οἴχεσθαι, ἢ καταληψόμενόν τι προεληλακέναι· 17. καὶ αὐτοὶ ἐβουλεύοντο εἰ αὐτοῦ μείναντες τὰ σκευφόρα ἐνταῦθα ἄγοιντο, ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. Ἔδοξεν οὖν αὐτοῖς ἀπιέναι· καὶ ἀφικνοῦνται ἀμφὶ δόρπηστον ἐπὶ τὰς σκηνάς.

(11) *After returning to their camp, and learning the death of Cyrus, they offer the crown to Ariæus. The king sends Phalinus to demand from the Greeks the surrender of their arms.* II. i.

7. Καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγορὰν καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες, οἱ μὲν ἄλλοι βάρβαροι· ἦν δ' αὐτῶν Φαλῖνος εἷς Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν καὶ ἐντίμως ἔχων· καὶ γὰρ προσεποιεῖτο ἐπιστήμων εἶναι τῶν ἀμφὶ τὰς τάξεις τε καὶ ὁπλομαχίαν. 8. Οὗτοι δέ, προσελθόντες τε καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας, λέγουσιν ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν τυγχάνει καὶ Κῦρον ἀπέκτονε, παραδόντας τὰ ὅπλα, ἰόντας ἐπὶ τὰς βασιλέως θύρας, εὑρίσκεσθαι ἄν τι δύνωνται ἀγαθόν. 9. Ταῦτα μὲν εἶπον οἱ βασιλέως κήρυκες· οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν, ὅμως δὲ Κλέαρχος τοσοῦτον εἶπεν, ὅτι οὐ τῶν νικώντων εἴη τὰ ὅπλα παραδιδόναι· Ἀλλ', ἔφη, ὑμεῖς μὲν, ὦ ἄνδρες στρατηγοί, τούτοις ἀποκρίνασθε ὅ τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε· ἐγὼ δὲ αὐτίκα ἥξω. Ἐκάλεσε γάρ τις αὐτὸν τῶν ὑπηρετῶν, ὅπως ἴδοι τὰ ἱερὰ ἐξῃρημένα· ἔτυχε γὰρ θυόμενος. 10. Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ μὲν ὁ Ἀρκάς, πρεσβύτατος ὢν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοῖεν· Πρόξενος δὲ ὁ Θηβαῖος, Ἀλλ' ἐγώ, ἔφη, ὦ Φαλῖνε, θαυμάζω πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα, ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν, καὶ οὐ λαβεῖν ἐλθόντα; εἰ δὲ πείσας βούλεται λαβεῖν, λεγέτω τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται. 11. Πρὸς ταῦτα Φαλῖνος εἶπε, Βασιλεὺς νικᾶν ἡγεῖται

Digitized by Google

ἐπεὶ Κῦρον ἀπέκτονε. Τίς γὰρ αὐτῷ ἐστὶν ὅστις τῆς ἀρχῆς ἀντιποιεῖται; Νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ, καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων· καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος ἀγαγεῖν ὅσον, οὐδ' εἰ παρέχοιεν ὑμῖν, δύναισθ' ἂν ἀποκτεῖναι.

12. Μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπεν· Ὦ Φαλῖνε, νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἄλλο ἐστὶν ἀγαθὸν εἰ μὴ ὅπλα καὶ ἀρετή· ὅπλα μὲν οὖν ἔχοντες, οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι· παραδόντες δ' ἂν ταῦτα, καὶ τῶν σωμάτων στερηθῆναι. Μὴ οὖν οἷον τὰ μόνα ἡμῖν ἀγαθὰ ὄντα ὑμῖν παραδῶσειν· ἀλλὰ σὺν τούτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα.

(12) *Reply of Clearchus to Phalinus.*

20. Κλέαρχος δὲ πρὸς ταῦτα εἶπεν· Ἀλλὰ ταῦτα μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντες τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ· εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα, ἢ ἄλλῳ παραδόντες. 21. Ὁ δὲ Φαλῖνος εἶπε· Ταῦτα μὲν δὴ ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν ἐκέλευσεν εἰπεῖν βασιλεύς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ, σπουδαὶ εἶησαν, προϊοῦσι δὲ καὶ ἀπιοῦσι, πόλεμος. Εἴπατε οὖν καὶ περὶ τούτου, πότερα μενεῖτε καὶ σπουδαί ἐσμεν, ἢ ὡς πολέμου ὄντος παρ' ὑμῶν ἀπαγγελῶ. 22. Κλέαρχος δ' ἔλεξεν· Ἀπάγγελλε τοίνυν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ ἅπερ καὶ βασιλεῖ. Τί οὖν ταὐτά ἐστιν; ἔφη ὁ Φαλῖνος. Ἀπεκρίνατο ὁ Κλέαρχος· Ἦν μὲν μένωμεν, σπουδαί· ἀπιοῦσι δὲ καὶ προϊοῦσι, πόλεμος. 23. Ὁ δὲ πάλιν ἠρώτησε· Σπουδὰς ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· Σπουδαὶ μὲν μένουσιν, ἀπιοῦσι δὲ ἢ προϊοῦσι, πόλεμος. Ὅ τι δὲ ποιήσοι οὐ διεσήμηνεν.

Digitized by Google

(13) *Length of the march from Ephesus to Cunaxa.* II. ii.

6. Ἀριθμὸς δὲ τῆς ὁδοῦ ἣν ἦλθον ἐξ Ἐφέσου τῆς Ἰωνίας μέχρι τῆς μάχης σταθμοὶ τρεῖς καὶ ἐνενήκοντα, παρασάγγαι πέντε καὶ τριάκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι· ἀπὸ δὲ τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βαβυλῶνα στάδιοι ἑξήκοντα καὶ τριακόσιοι.

(14) *The Greeks cross the Tigris on rafts, arrive at the greater Zab. Interview between Clearchus and Tissaphernes. Arrest and death of the generals. Character of Clearchus.* II. vi.

1. Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν· εἷς μὲν αὐτῶν Κλέαρχος ὁμολογουμένως ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ ἐχόντων δόξας γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως. 2. Καὶ γὰρ δὴ, ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις πρὸς τοὺς Ἀθηναίους, παρέμενεν· ἐπεὶ δὲ εἰρήνη ἐγένετο, πείσας τὴν ἑαυτοῦ πόλιν ὡς οἱ Θρᾷκες ἀδικοῦσι τοὺς Ἕλληνας καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν Ἐφόρων ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ Χερρονήσου καὶ Περίνθου Θρᾳξίν. 3. Ἐπεὶ δὲ μεταγνόντες πως οἱ Ἔφοροι ἤδη ἔξω ὄντος αὐτοῦ ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ' ᾤχετο πλέων εἰς Ἑλλήσποντον. 4. Ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν ὡς ἀπειθῶν. Ἤδη δὲ φυγὰς ὢν ἔρχεται πρὸς Κῦρον, καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον ἄλλῃ γέγραπται· δίδωσι δὲ αὐτῷ Κῦρος μυρίους δαρεικούς· 5. ὁ δὲ λαβὼν οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ' ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα ἐπολέμει τοῖς Θρᾳξί, καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ τούτου δὴ ἔφερε καὶ ἦγεν αὐτούς· καὶ πολεμῶν διεγένετο μέχρι Κῦρος ἐδεήθη τοῦ στρατεύματος· τότε δὴ ἀπῆλθεν ὡς ὢν ἐκείνῳ αὖ πολεμήσων.

Digitized by Google

6. Ταῦτα οὖν φιλοπολέμου μοι δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν μὲν εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥᾳθυμεῖν βούλεται πονεῖν ὥστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν. Ἐκεῖνος δὲ ὥσπερ εἰς ἱππικὰ ἢ εἰς ἄλλην τινὰ ἡδονὴν ἤθελε δαπανᾶν εἰς πόλεμον· οὕτω μὲν φιλοπόλεμος ἦν. 7. Πολεμικὸς δὲ αὖ ταύτῃ ἐδόκει εἶναι ὅτι φιλοκίνδυνός τε ἦν, καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους, καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν. 8. Καὶ ἀρχικὸς δ' ἐλέγετο εἶναι ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου οἷον κἀκεῖνος εἶχεν. Ἱκανὸς μὲν γὰρ ὥς τις καὶ ἄλλος φροντίζειν ἦν, ὅπως ἔχοι ἡ στρατιὰ αὐτῷ τὰ ἐπιτήδεια, καὶ παρασκευάζειν ταῦτα· ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν, ὡς πειστέον εἴη Κλεάρχῳ. 9. Τοῦτο δ' ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι. Καὶ γὰρ ὀρᾶν στυγνὸς ἦν, καὶ τῇ φωνῇ τραχύς· ἐκόλαζέ τε αἰεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν ἔσθ' ὅτε. Καὶ γνώμῃ δὲ ἐκόλαζεν· ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἠγεῖτο ὄφελος εἶναι. 10. Ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν, ἢ φίλων ἀφέξεσθαι, ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. 11. Ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα καὶ οὐκ ἄλλον ᾑροῦντο οἱ στρατιῶται. Καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς ἄλλοις προσώποις ἔφασαν φαίνεσθαι, καὶ τὸ χαλεπὸν ἐῤῥωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι· ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. 12. Ὅτε δ' ἔξω τοῦ δεινοῦ γένοιντο καὶ ἐξείη πρὸς ἄλλους ἄρχοντας ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλιπον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλὰ ἀεὶ χαλεπὸς ἦν καὶ ὠμός· ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται ὥσπερ παῖδες πρὸς διδάσκαλον. 13. Καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους οὐδέποτ' εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τετα-

Digitized by Google

γμένοι, ἢ ὑπὸ τοῦ δεῖσθαι, ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. 14. Ἐπειδὴ δὲ καὶ ἤρξαντο νικᾶν ξὺν αὐτῷ τοὺς πολεμίους, μεγάλα ἤδη ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς ξὺν αὐτῷ στρατιώτας· τό τε γὰρ πρὸς τοὺς πολεμίους θαρσαλέως ἔχειν παρῆν, καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φοβεῖσθαι αὐτοὺς εὐτάκτους ἐποίει. 15. Τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δὲ ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. Ἦν δέ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.

(15) *Xenophon's dream.* III. 1.

4. Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν, ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτὸν, εἰ ἔλθοι, φίλον Κύρῳ ποιήσειν· ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. 5. Ὁ μέντοι Ξενοφῶν, ἀναγνοὺς τὴν ἐπιστολὴν, ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. Καὶ ὁ Σωκράτης ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως οἱ ὑπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντι εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. 6. Ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστ' ἂν καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς οἷς ἔδει θύειν. 7. Ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. Ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτὸν ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν ὅσα ὁ θεὸς ἐκέλευσεν. 8. Ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος οἷς ἀνεῖλεν ὁ θεὸς ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω

Digitized by Google

ὁδόν· καὶ συνεστάθη Κύρῳ. 9. Προθυμουμένου δὲ τοῦ Προξένου καὶ ὁ Κῦρος συμπροθυμεῖτο μεῖναι αὐτόν· εἶπε δὲ ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψειν αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πεισίδας.

10. Ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθείς, οὐχ ὑπὸ τοῦ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμήν, οὐδ' ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου· ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἦδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ τὴν ὁδὸν, καὶ ἄκοντες, ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. 11. Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἠδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. 12. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

13. Ὁποῖόν τι μέντοι ἐστὶ δὴ τὸ τοιοῦτον ὄναρ ἰδεῖν ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. Γίνεται γὰρ τάδε· εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· Τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. Εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπ-ιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας, ὑβριζομένους ἀποθανεῖν; 14. Ὅπως δ' ἀμυνούμεθα οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα, ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. Ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις.

Digitized by Google

(16) *Xenophon, being chosen general, leads the Ten Thousand through the Carduchian Mountains and Armenia to the Euxine, and eventually to Thrace. First view of the sea.* IV. vii.

21. Καὶ μετὰ πολλὰς ἡμέρας ἀφικνοῦνται ἐπὶ ὄρος τι ὑψηλόν· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης· ἐπειδὴ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ πολλὴ ἐγένετο. 23. ἐπειδὴ δὲ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας, καὶ πολλῷ μεῖζον ἐγίγνετο ἡ βοή, ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μέγα τι εἶναι τῷ Ξενοφῶντι. 24. Καὶ ἀναβὰς ἐφ' ἵππον, καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν, παοεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν, Θάλαττα, Θάλαττα, καὶ παρεγγυώντων. Ἔνθα δὴ ἔθεον ἅπαντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύνετο, καὶ οἱ ἵπποι. 25. Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους, καὶ στρατηγοὺς, καὶ λοχαγοὺς, δακρύοντες. Καὶ ἐξαπίνης, ὅτου δὴ παρεγγυήσαντος, οἱ στρατιῶται φέρουσι λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν.

(17) *Summary of Books* I—IV. V. i.

1. Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες, καὶ ἐν τῇ πορείᾳ τῇ μέχρις ἐπὶ θάλατταν τὴν ἐν τῷ Εὐξείνῳ Πόντῳ, καὶ ὡς εἰς Τραπεζοῦντα πόλιν Ἑλληνίδα ἀφίκοντο, καὶ ὡς ἀπέθυσαν ἃ εὔξαντο σωτήρια θύσειν ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.

(18) *Summary of the entire* Ἀνάβασις *and* Κατάβασις. VII. viii.

26. Ἀριθμὸς δὲ συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα πέντε, στάδια τρισμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα. Χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως ἐνιαυτὸς καὶ τρεῖς μῆνες.

Digitized by Google

INDEX OF WORDS AND PHRASES.

The pupil should be constantly exercised in the following, and required to give the English of them, the mood, tense, case construction, derivation, &c.

LESSON

1. γονεῖς.
ἑορτῇ.
ἐγένετο.
ἀναβάντων αὐτῶν.
ἐν τῷ ὑποστρέφειν αὐτούς.
ἔγνω.
2. ἦλθον.
ἀνεζήτουν.
εὑρόντες.
ἐπερωτῶντα.
3. ἐξίσταντο.
συνέσει.
ἰδόντες.
ἐξεπλάγησαν.
ᾔδειτε.
4. οὐ συνῆκαν.
κατέβη.
διετήρει.
προέκοπτε.
χάριτι.
5. ἡγεμονεύοντος.
ἐπὶ ἀρχιερέων.
τὴν περίχωρον.
ἄφεσιν.
6. γέγραπται.
βοῶντος.
εὐθείας.
πᾶν ὄρος.
ἔσται.
ὄψεται.
7. ὑπέδειξεν.

LESSON

φυγεῖν.
ἄρξησθε.
ἐγεῖραι.
ἀξίνη.
κεῖται.
8. ἀποκριθεὶς.
μεταδότω.
διατεταγμένον.
ὑμῖν.
9. ἱμάντα.
οὗ.
λῦσαι.
εἴη.
10. τὴν ἄλωνα.
συνάξει.
εὐηγγελίζετο.
γυναικὸς.
κατέκλεισε.
11. ἀνεῳχθῆναι.
εἶδει.
γενέσθαι.
ηὐδόκησα.
12. ἦν ἐστώς.
εἶδε.
ἀπέπλυναν.
ἐμβὰς.
13. ἐπαύσατο λαλῶν.
χαλάσατε.
ἐπιστάτα.
διερῥήγνυτο.
μετόχοις.
συλλαβέσθαι.

LESSON

ἔπλησαν.
14. ἰδὼν.
προσέπεσε.
γόνασι.
ἀνὴρ.
περιέσχεν.
φοβοῦ.
ἔσει ζωγρῶν.
ἀφέντες.
15. ἤμελλε τελευτᾶν.
ἔντιμος.
ὅπως διασώσῃ.
παρέξει.
16. τὸ ἔθνος.
μακρὰν ἀπέχειν.
μὴ σκύλλου.
ἠξίωσα.
εἰπὲ λόγῳ.
17. πορεύθητι.
στραφεὶς.
εὗρον.
18. ἐν τῇ ἐξῆς.
ὡς ἤγγισε.
τεθνηκὼς.
καὶ αὐτῇ χήρᾳ.
ἤψατο τῆς σύρου.
19. ἤρξατο.
ἔδωκεν.
ἐγήγερται.
ἀπήγγειλαν.
20. συνιόντος ὄχλου.
τοῦ σπεῖραι.

Digitized by Google

LESSON
ὃ μὲν.
κατέφαγεν.
συμφυεῖσαι.
21. ὦτα.
δέδοται.
τίς εἴη.
μὴ συνιῶσι.
22. αἴρει τὸν λόγον
ἵνα μὴ σωθῶσι.
ἀφίστανται.
οἵτινες.
23. γνόντες.
ἐᾶτο.
Θεραπείας.
ἀπόλυσον.
24. δότε.
φαγεῖν.
πλεῖον.
κατακλίνατε.
κλισίας.
ἀνὰ πεντήκοντα.
ἀναβλέψας.
κατέκλασε.
ἐδίδου.
ἤρθη.
25. ἀνέστη.
γέγραπται.
ἀναγιγνώσκεις.
ἰσχύος.
τὸν πλησίον συν.
ποιει.
26. ὑπολαβὼν.
λῃσταῖς.
περιέπεσεν.
ἐκδύσαντες.
ἀφέντες.
ἡμιθανῆ τυγχάνοντα.
κατὰ συγκυρίαν.
ἀντιπαρῆλθεν.
ἦλθε κατ' αὐτόν.
27. κατέδησε.
τραύματα.
ἐπιβιβάσας.
τὸ ἴδιον κτῆνος.
ἤγαγεν.
πανδοχεῖον.

LESSON
ἐκβαλὼν.
τὸ ἔλεος.
28. τὸ ἐπιβάλλον μέρος.
διεῖλε τὸν βίον.
ἀσώτως.
29. ἐκολλήθη.
γεμίσαι.
κεράτιον.
ὧν ἤσθιον.
εἰς ἑαυτὸν ἐλθών.
κληθῆναι.
30. μακρὰν ἀπέχειν.
δραμὼν ἐπέπεσεν.
τράχηλον.
ἐνδύσατε.
ἐνέγκαντες.
Θύσατε.
φαγόντες.
ἀπολωλὼς ἦν.
31. ἤγγισε.
συμφωνίας.
τί εἴη ταῦτα.
ὠργίσθη.
ἔριφον.
ἵνα εὐφρανθῶ.
χαρῆναι ἔδει.
32. κώμην τινά.
ἦραν φωνήν.
ἐλέησον.
33. ἰάθη.
οἱ δὲ Σ' ποῦ ;
ἀλλογενὴς.
ἀναστὰς.
34. ἀπέστειλε.
δεδεμένον.
ἀγάγετε.
ἐρεῖτε.
χρείαν ἔχει.
λυόντων αὐτῶν.
οἱ κύριοι.
35. ἐπιῤῥίψαντες.
ὑπεστρώννυον.
τὰ ἱμάτια.
πασῶν ὧν εἶδον δυνάμεων.
ἐπιτίμησον.
κεκράξονται.

LESSON
36. ἐπιβαλεῖν χεῖρας.
ἐν αὐτῇ τῇ ὥρᾳ.
ἔγνωσαν.
ἵνα ἐπιλάβωνται.
ἐξουσία.
φόρον δοῦναι.
37. πανουργίαν.
εἰκόνα.
ἐσίγησαν.
38. συγκατατεθειμένος.
ᾔτήσατο.
καθελὼν.
ἐνετύλιξεν.
σινδόνι.
39. παρασκευὴ.
σάββατον ἐπέφωσκε
αἵτινες.
ἦσαν συνεληλυθυῖαι.
μνημεῖον.
ἐτέθη.
40. ἐπάρας.
ἐν τῷ εὐλογεῖν αὐτὸν.
διέστη.
διαπαντὸς.
ἀμὴν.
41. ποιμένας.
ἐσθίοντας.
ἡλίκος ἂν ἦν Θόρυβος.
ἀλώπεκος.
τίκτειν.
κώνωψ.
ηὔλει.
μελήσει μοι
42. ὄφιν.
εὑρὼν.
πεπηγότα.
κατέθετο.
πεπείρους.
κρεμαμένους.
δμφαγες.
43. ἔριφος.
ἑστὼς.
παριόντα.
πνιγῆναι.
παροδίτην.
σωθέντι.

Digitized by Google

LESSON
44. κυὼν θηρευτικός.
ἐπιστραφεὶς.
ὦ κακὴ κεφαλή.
οὐτινος.
ὑπήνεγκας.
45. δορὰν λέοντος.
ἐπενδυθεὶς.
ποιμνίων.
πνεύσας.
ἐπιδραμόντες.
ταὼς.
ἠξίου.
ἐπαρκέσεις.
46. ὠὰ τίκτειν.
πλείους κριθάς.
εἰ παραβάλοι.
ὅς τῆς ἡμέρας.
πιμελης.
ὡς μικροῦ ἀποθανεῖν.
ἐκ τρίτου.
47. Θέρους.
ξηρανθείσης τῆς λίμνης.
φρέατι.
περιέτυχον.
ἄτερος.
ἂν ξηρανθῇ.
48. συλληφθείσης.
διελεῖν.
μερίδας.
ἐκ τῶν ἴσων.
κατέφαγεν.
σωρεύσασα.
49. ταχύτερος κυνῶν.
πέφυκας.
κέρατα ὑπερφυᾶ.
ἐν δ' οἶδα.
ἐπειδὰν ἀκούσω.
δυνατώτερός μου.
ξύειν τοῖς ὄνυξι.
δάκνειν ὀδοῦσι.
50. ἔλθωμεν.
σαλπίσας.
ἐνεπήγετο.
κατέλυεν ἑαυτόν.
ἐπινίκιον ᾄσας.

LESSON
ἔπτατο.
ἐμπλακεὶς.
ἀραχνῆς δεσμῷ.
ἀπώλετο.
εὐτελοῦς ζώου.
51. περιστερεῶνι.
τρεφομένας.
λευκάνας.
διαίτης.
προσίεντο.
ἐφθέγξατο.
καὶ ὃς.
ἀπεῖρξαν.
μηδετέρας.
52. ἥμερον.
εὐηλίῳ τόπῳ.
ἐμακάριζεν.
εὐεξίᾳ.
ἀπολαύσει.
ὀνηλάτην.
ῥοπάλοις.
53. ἡ βάρβιτος.
ἠχεῖ.
ἤμειψα.
πρώην.
ἄθλους.
54. ὁπλὰς.
ἔδωκεν.
ποδωκίαν.
λαγωοῖς.
χάσμ' ὀδόντων τὸ νηκτὸν.
καλή τις οὖσα.
55. μερόπων.
κέαται.
ἐπισταθείς μου.
ὀχῆας.
κατά μου σχίσεις.
βρέχομαι.
56. λύχνον ἅψας.
ἀνέῳξα.
βρέφος φέροντα.
καθίξας.
ἀνέθαλπον.
ἀπέθλιβον.
57. κρύος.
μεθῆκε.

LESSON
βλάβεται.
βραχεῖσα.
ἀνὰ δ' ἄλλεται.
ἀβλαβὲς.
58. ἔσοπτρον.
ἄθρει.
τὰ Μοίρης.
59. μέριμναι.
θανεῖν με δεῖ.
πίωμεν.
εὕδουσιν.
60. κοιμωμένην.
ἐτρώθη.
ὠλόλυξε.
δραμών.
ὅλωλα.
γεωργοὶ.
πονέω.
61. μέμνημαι.
ἐκ παίδων εἰς ἥβην ὁρμᾶσθαι.
αὐτοκράτορες.
καθῆσθαι.
τράπηται.
62. καὶ φανῆναι αὐτῷ.
αἰδοῖ.
τεθραμμένην.
κεκαλλωπισμένην.
ὥστε δοκεῖν.
ἀναπεπταμένα.
ἀποβλέπειν.
63. πλησιαίτερον.
ῥηθεῖσαν.
προσδραμεῖν.
ῥᾴστην.
ἄπειρος.
φροντιεῖς.
64. τί ἂν τερφθείης;
ἡσθείης.
μαλακώτατα.
ὑποψία.
ἐὰν γένηται.
φόβος μὴ ἀγάγω.
τούτοις χρήσει.
οὐδενὸς ἀπεχόμενος.
κερδᾶναι.
τοῖς ἐμοὶ ξυνοῦσι.

Digitized by Google

LESSON
65. γύναι.
ὑποκόριζόμενοι.
ἥκω.
ἐντιμοτέραν.
ἐπ' ἀγαθοῖς.
66. προοιμίοις.
διέθεσαν.
ἴλεως.
Θεραπευτέον.
ἀξιοῖς.
67. ἀφθόνους.
οἶει.
χειροῦσθαι.
μαθητέον.
ἐθιστέον.
ἰδρῶτι.
68. ὑπολαβοῦσα.
ῥᾳδίαν.
ὦ τλῆμον.
οἶσθα.
ἐμπίπλασαι.
πολυτελεῖς.
χιόνα.
69. στρωμνὰς.
ὑπόβαθρα.
διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς.
ἀπέῤῥιψαι.
ἀνήκοος εἶ.
τεθέασαι.
70. ἐπαρκέσειεν.
τοῦ σοῦ Θιάσου.
ἀνόητοι.
διαδραμόντες.
ἀποθέμενοι.
χωρὶς ἐμοῦ.
71. παραστάτης.

LESSON
συλλήπτρια.
ἀπόλαυσις.
ἀνέχονται.
μεθιᾶσι.
τὰ δέοντα.
72. ἀγάλλυνται.
τὸ πεπρωμένον.
ἔξεστι.
κεκτῆσθαι.
ἱλαδὸν.
ἐλέσθαι.
ῥηϊδίως.
ἔθηκαν.
ἐπὴν ἵκηται.
73. ἀγορὰ πλήθουσα.
καταλύσειν.
βαρβαρικῶς.
καὶ πάντες δέ.
σφίσιν ἐπιπεσεῖσθαι.
ἐνέδυ.
καθίσταντο.
ἐχόμενος.
εὐωνύμῳ.
74. κράνεσι.
δεῖλη.
κονιορτὸς.
ἤστραπτε.
γεῤῥοφόροι.
πλαισίῳ.
75. δρεπανηφόρα
εἰς πλάγιον.
ἀποτεταμένα.
ὅτῳ ἐντυγχάνοιεν.
ὡς ἑλῶντα.
σιγῇ ὡς ἀνυστόν.
ἑρμηνεῖ.
κἂν τοῦτο νικῶμεν.

LESSON
τὸ μέσον στῖφος.
ἀποσπάσαι.
ὅτι αὐτῷ μέλοι.
76. ὁμαλῶς προῄει.
εἴ τι παραγγέλλοι.
ἐπιστήσας.
τὸ σύνθημα.
ἐπαιάνιζον.
77. ἐξεκύμαινέ τι.
ἐφθέγξαντο.
τῷ Ἐνυαλίῳ.
πρὶν τόξευμα ἐξικνεῖσθαι.
κατὰ κράτος.
ἐπεὶ προΐδοιεν.
διέσταντο.
ἐκπλαγείς.
78. τὸ καθ' αὑτοὺς.
συνεσπειραμένην.
ᾔδει αὐτὸν ὅτι μέσον ἔχοι.
εἰ χρῄζοιεν.
βασιλεὺς.
ἐμβαλὼν.
79. κατελείφθησαν.
ὁμοτράπεζοι.
καθορᾷ.
οὐκ ἠνέσχετο.
παρ' ἐκείνῳ ἦν.
σκηπτούχων.
περιπεσεῖν αὐτῷ.
ἐπισφάξαι αὐτὸν Κύρῳ.
καὶ στρεπτὸν δὲ ἐφόρει.
ἐτετίμητο.

Digitized by Google

ACTIVE VOICE.	MIDDLE VOICE.
1. Present.	8. Present.
2. Imperfect.	9. Imperfect.
3. Future.	10. Future.
4. First Aorist.	11. First Aorist.
5. Perfect.	12. Perfect.
6. Pluperfect.	13. Pluperfect.
7. Second Aorist.	14. Second Aorist.

PASSIVE VOICE.

15. Present.	18. Pluperfect.	21. First Future.
16. Imperfect.	19. Paulo-post Future.	22. Second Aorist.
17. Perfect.	20. First Aorist.	23. Second Future.

The Moods are referred to as follows: —

α. Indicative.	γ. Subjunctive.	ε. Infinitive.
β. Imperative.	δ. Optative.	π. Participle.

FORMULA FOR PARSING.

SUBSTANTIVE.

From what?
Common or Proper?
Decline.
Gender.
Number.
Case.
Concord or Government.
Syntax Rule.
Derivation.

ADJECTIVE.

From what?
Number of Terminations?
Decline.
Gender.
Number.
Case.
Concord or Government.
Syntax Rule.
Compare.
Derivation.

PRONOUN.

Of what kind?
Then as Adjective.

VERB.

From what?
Contract, Verb in ω, μι, &c.
Simple or Compound.
Conjugation.
Characteristics.
Conjugate —
Act. Pres., Fut., Perf., 2 Aor.
Midd. Pres., Fut., Perf., 2 Aor.
Pass. Pres., Perf., 1 Aor., 2 Aor.
Voice.
Mood.
Tense.
Cognate Tenses.
Go through Tense.
Number.
Person.
Concord or Government.
Syntax Rule.
Derivation.

PARTICIPLE.

As Verb, as far as Tense;
Then as Adjective.

Digitized by Google

LONDON : PRINTED BY
SPOTTISWOODE AND CO., NEW-STREET SQUARE
AND PARLIAMENT STREET

Digitized by Google

Digitized by Google

Digitized by Google

In course of publication, each volume complete in itself,

EPOCHS OF MODERN HISTORY:

EDITED BY

E. E. MORRIS, M.A. Lincoln Coll. Oxford;
J. S. PHILLPOTTS, B.C.L. New Coll. Oxford; and
C. COLBECK, M.A. Fellow of Trin. Coll. Cambridge.

The Beginning of the Middle Ages, Charles the Great and Alfred; the History of England in connexion with that of Europe in the Ninth Century. By the Very Rev. R. W. CHURCH, M.A. Dean of St. Paul's. With 3 Coloured Maps. Price 2*s.* 6*d.*

The French Revolution to the Battle of Waterloo, 1789–1815. By BERTHA M. CORDERY, Author of 'The Struggle against Absolute Monarchy.' [*In preparation.*

The Crusades. By the Rev. Sir G. W. Cox, Bart. M.A. late Scholar of Trinity College, Oxford; Author of the 'Aryan Mythology' &c. With a Coloured Map. Price 2*s.* 6*d.*

The Age of Elizabeth. By the Rev. M. CREIGHTON, M.A. late Fellow and Tutor of Merton College, Oxford. With 5 Maps and 4 Genealogical Tables. Price 2*s.* 6*d.*

The Houses of Lancaster and York; with the CONQUEST and LOSS of FRANCE. By JAMES GAIRDNER, of the Public Record Office; Editor of 'The Paston Letters' &c. With 5 Coloured Maps. Price 2*s.* 6*d.*

The Thirty Years' War, 1618–1648. By SAMUEL RAWSON GARDINER, late Student of Ch. Ch. With a Coloured Map. Price 2*s.* 6*d.*

The First Two Stuarts and the Puritan Revolution, 1603–1660. By SAMUEL RAWSON GARDINER, Author of 'The Thirty Years' War, 1618–1648.' With 4 Coloured Maps. Price 2*s.* 6*d.*

The Fall of the Stuarts; and Western Europe from 1678 to 1697. By the Rev. EDWARD HALE, M.A. Assistant-Master at Eton. With Eleven Maps and Plans. Price 2*s.* 6*d.*

The Normans in Europe. By the Rev. A. H. JOHNSON, M.A. late Fellow of All Souls College, Oxford; Historical Lecturer to Trinity, St. John's, Pembroke, and Wadham Colleges. With 3 Maps. Price 2*s.* 6*d.*

Frederick the Great and the Seven Years' War. By F. W. LONGMAN, of Balliol College, Oxford. [*In preparation.*

The War of American Independence, 1775–1783. By JOHN MALCOLM LUDLOW, Barrister-at-Law. With 4 Coloured Maps. Price 2*s.* 6*d.*

The Age of Anne. By E. E. MORRIS, M.A. Head-Master of Melbourne Grammar School, Australia; Original Editor of the Series. With 7 Maps and Plans. Price 2*s.* 6*d.*

The Era of the Protestant Revolution. By F. SEEBOHM, Author of 'The Oxford Reformers—Colet, Erasmus, More.' With 4 Coloured Maps and 12 Diagrams on Wood. Price 2*s.* 6*d.*

The Early Plantagenets. By the Rev. W. STUBBS, M.A. Regius Professor of Modern History in the University of Oxford. With 2 Coloured Maps. Price 2*s.* 6*d.*

The Empire under the House of Hohenstaufen. By the Rev. W. STUBBS, M.A. Re... the University of Oxford. *preparation.*

Edward the Third. ... M.A. late Fellow of All Souls College, ... tor of Schools. With 3 Coloured Maps and 3 ...

London, ...

Digitized by Google